νοῦ φέρεσθαι συμβαίνει· τὰ δὲ τῶν πολεμίων, ἀλληλουχίας ἀρρήτῳ τινὶ τάξει ὀρθούμενα καὶ κατορθούμενα δείκνυσθαι, ἐφ' ἡμεῖς ποτνιώμεθα, καὶ τὰς χεῖρας αἴρομεν, καὶ τὸ θεῖον ἐπιβοώμεθα· οἱ δὲ καὶ καταγελῶσιν ἡμῶν. ἀλλ' εἰ μὲν ἡ κάκωσις αὕτη θεόθεν ἐφέρετο τοῖς πράγμασιν· ἦν ἂν παντὸς νοῦν ἔχοντος τὴν θεομηνίαν γενναίως ἐνεγκεῖν. ὅταν γὰρ τις θεῶν βλάπτῃ, δύναιτ' ἂν οὐδ' ἂν ἰσχύων φυγεῖν, λέγει Σοφοκλῆς. ἐπειδὴ δὲ, οὐδὲν

Nos in culpa sumus, non Deus.

ἄλλο τοῦ σφάλλεσθαι, καὶ κακῶς διατίθεσθαι τὰ ἡμέτερα, αἴτιον εἶναι φαίνεται, ὅτι μὴ μόνον τὸ ῥαθυμεῖν, καὶ τὸ πρὸς ἀλλήλους διΐστασθαι· τί δεῖ θεῷ προσάπτειν τὰ ἡμῖν ἁμαρτανόμενα; ἢ τύχῃ μέμφεσθαι, ὅταν ἡμεῖς ἀμελῶμεν, καὶ μὴ δὲ τὴν χεῖρα τοῖς πράγμασιν ἐπιβάλλωμεν; δεῖ γὰρ κατὰ τὴν παροιμίαν, τὰν χεῖρα ποτιφέροντα, καὶ τὰν τύχαν ἐπικαλεῖν. ἐπειδὴ τοῖς ῥαθυμοῦσι, καὶ ἀμελῶς ἔχουσι, καὶ τὸ δαιμόνιον ὀργίζεσθαι πέφυκεν. ὅπερ γὰρ οἰκίας δεσπότης, καὶ στρατοπέδου στρατηγὸς, καὶ νοσούντων ἰατρὸς· τοῦτο καὶ βασιλεὺς πόλεων ἐστὶ, καὶ δήμων. ὥσπερ δὲ, ἂν μὴ καλῶς ἐκεῖνος τὰ τῆς οἰκίας οἰκονομήσῃ, μήθ' ὁ στρατηγὸς τὰ τοῦ στρατοπέδου, καὶ τὰ περὶ τοὺς νοσοῦντας ὁ ἰατρὸς, συμβαίνει κακῶς ἀπόλλυσθαι πάντα· οὕτω καὶ βασιλεὺς δήμων καὶ πόλεων, ἢ δι' ἄγνοιαν, ἢ διὰ κακίαν, ὀλιγωρήσας, ἀνάγκη κἀκεῖνον καὶ ταύτας καταστρέψαι κακῶς. ὥστε οὐκ ἀπὸ τοῦ δέοντος λέγοιτο· τότε τὰς πόλεις ἐπὶ τὸ βέλτιον ἐπιδιδόναι, ὅταν οἱ βασιλεῖς φιλοσοφήσωσιν, ἢ βασιλεύσωσιν οἱ φιλόσοφοι. καλῶς ἔχει ταῦτα, εἴποι τις ἂν μὴ φρενῶν ἀμοιρῶν.

Principes in uitio sūt.

ἀνακόλουθον Nominatiuus, pro Genit. absoluto.

ἀλλὰ δεῖ καὶ τὰς πόλεις, καὶ τὸν δῆμον, πρὸς τὸ τοῦ βασιλέως ἁρμόζεσθαι βούλημα· εἴπερ ὁλοσχερῶς μέλλοι καλῶς ἕξειν τὰ πράγματα. ὥσπερ γὰρ οὔτε νοῦς ἄνευ χειρῶν ἰσχυρὸς, οὕτως οὔτε χεῖρες ἰσχύουσιν ὑπὸ νοὸς μὴ ὑπηρετούμεναι. ἰσχὺς οὖν καὶ σοφία συνδυασθεῖσαι, ἄμαχόν τι καὶ δυσχείρωτον γίνεται. ὁ γὰρ νοῦς ἐν ἀνθρώπῳ, τοῦτο βασιλεὺς ἐν πόλει. αἱ δὲ χεῖρες, τοῦτο τὰ πλήθη. ἀμφότερα μὲν οὖν συγγενόμενα, δυσπολέμητα γίνεται. θάτερον δὲ, ἀλυσιτελὲς παρὰ θάτερον φαίνεται.

Vt illos facere officiū ita & populum obedire, oportet.

ὀρθῶς οὖν καὶ ὁ Κῷος κρίνων Ἱπποκράτης, δεῖ φησὶν οὐ μόνον τὸν ἰατρὸν ἑωυτὸν παρέχειν τὰ δέοντα ποιέειν ἐθέλοντα· ἀλλὰ καὶ τὸν νοσέοντα, καὶ τοὺς παρεόντας, καὶ τὰ ἐκτός. ὥς τι δοκεῖ, καὶ τὸν οἶκον καλῶς διιθύνεσθαι, ἂν ἁρμοδίως ἔχῃ καὶ τὰ λοιπὰ πρὸς τὸν οἰκοδεσπότην· καὶ τὸν ἰατρὸν εὐδοκιμεῖν, ἂν εὐπειθὴς ὁ νοσῶν ᾖ. οὐκοῦν καὶ τὸν βασιλέα ὡσαύτως, ἂν οἱ δῆμοι τὰ δέοντα ποιῶσιν.

Mēs & manus, coniungendæ.

ἀλλ' ἔοικε καὶ κατὰ τοῦτο δυσμενείᾳ τινὶ τύχης, ἐλαττοῦσθαι τὰ καθ' ἡμᾶς. τοὺς γὰρ ὑπὸ τὸν τύραννον δήμους, συμφρονοῦντας ἅπαντας πρὸς ἀλλήλους, καὶ τὸν νοῦν αὐτῷ μόνῳ προσέχοντας, ἴδοι τις ἂν, οἴκοι τε μένοντας, κἀν ταῖς πολεμικαῖς περιστάσεσι γενομένους. ὅθεν συμβαίνει, τὸ δέον ἀεὶ διαφερόντως ἐξ αὐτῶν γίνεσθαι.

Hoc certè apud Turcas præclarè fit.

χριστιανοὺς δὲ, παραπλήσια πάσχειν συμβαίνει τοῖς ἀδεσπότοις σκάφεσιν. ὅταν γὰρ καταφρονῶσι τῶν προεστώτων, καὶ πρὸς ἀλλήλους στασιάζωσιν οἱ πλωτῆρες, διὰ τὸ μὴ δοκεῖν πᾶσι τὰ αὐτά· τῶν μὲν προτεινόντων τοὺς κάλως, καὶ πλέειν προαιρουμένων, τῶν δὲ ἐκσειόντων, καὶ προσορμίζειν ἀναγκαζόντων· ὁ πλοῦς ἐπισφαλὴς τότε γίνεται, καὶ τὸ σκάφος ὑπὸ μικροῦ πάνυ χειμῶνος περιτρέπεται.

Discordia uerò nautarum, nauigationi noxia.

οὐ μόνον δ' ἔξω γινόμενοι χριστιανοὶ ταῦτα πάσχουσιν· ἀλλ' ἔστι καὶ οἴκοι μένοντας θεάσασθαι οὐκ εὐαρμόστως ἔχοντας. τὰ μὲν γὰρ ἄλλα τῶν ἀνθρώπων γένη, κατὰ τοὺς κειμένους νόμους, τὰ μὲν αἱρούμενοι, τὰ δὲ φεύγοντες, κατ' ἰδίαν τοὺς βίους ἔχουσι σώφρονας καὶ ὁσίους. ἡμεῖς δὲ ἔθεσι καὶ δόξαις διαφόροις ἑπόμενοι, καθ' ἑκάστην πρὸς ἀλλήλους μαχόμεθα· καὶ εἰς αἰῶνά γε μαχησόμεθα, ἂν μὴ θεὸς εὐμαρίσῃ τὸ πάθος.

Et militiæ & domi discordes sumus.

† pro νυῦ, lego νῦ.

Alio aliud sibi bonum proponēte.

οὐ λέγω δὲ ἰδιώτας· ὧν οἱ μὲν εὐεξίαν σώματος, τἀγαθὸν εἶναι νομίζουσιν, οἱ δὲ οἰνοφλυγίαν, οἱ δὲ καὶ χείρονά τινα τούτων· ἀλλὰ καὶ τῶν δοκούντων παιδείας μεταλαχεῖν. οἱ μὲν γὰρ † νυῦ πλεῖστον διαβιώσωσιν ἡδόμενοι, τοῦτο εὐδαιμονίαν ἥγηνται τὴν ἀνωτάτω. οἱ δὲ ἐν ἀρετῇ τὸ μακάριον τίθενται. καὶ οἱ μὲν λόγους καὶ μαθήματα πρὸς τὸν εὐδαίμονα συντελεῖν νομίζουσι βίον. οἱ δὲ φεύγουσι ταῦτα, ὑπό τινων κακοδαιμόνων γοήτων παραπεισθέντες. καὶ οἱ μὲν γάμους, οἱ δὲ τὴν μοναυλίαν, ἐπαινοῦσιν. οἱ δὲ περὶ τὰ χρήματα ἐπτόηνται· οἱ δὲ ἄλλο νομίζουσι τἀγαθόν. καὶ αὖθις, ἄλλο ἄλλοι. ἕκαστοι δὲ τούτων, ταῖς ἰδίαις ἑπόμενοι δόξαις, τὸν ἀκήρυκτον ἄγουσι πόλεμον πρὸς τοὺς λοιπούς. συμβαίνει γὰρ, τῶν ὄχλων τοὺς μὲν τούτοις, τοὺς δ' ἐκείνοις, τοὺς δὲ τοῖς ἄλλοις, προστιθεμένους, διαφέρεσθαι παρὰ πάντα τὸν βίον. τὰς μὲν οὖν ἀληθεστάτας αἰτίας τοῦ νοσεῖν καὶ κακῶς ἔχειν τὰ χριστιανῶν, θεὸν ἀνάγκη μόνον εἰδέναι. τὰς δὲ πιθανὰς, καὶ εὐλόγους εἶναι δοκού-

σας

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2008

σας, ταύτας ἥγημαι μόνας, ἀνθρωπίνῳ λογισμῷ στοχαζόμενος. ἀλλὰ τί ταῦτα πρὸς τὰ παρόντα; ἐν ἄλλῳ χρόνῳ πολυπραγμονεῖν ἔσται περὶ τούτων. ὁ γὰρ παρὼν καιρὸς, ὦ συνετώτατε Φίλιππε: κατὰ δημοσθένην εἰπεῖν, μονονουχὶ λέγει φωνὴν ἀφιεὶς: ὅτι τῶν πραγμάτων ὑμῖν ἐκείνων αὐτοῖς ἀντιληπτέον ἐστὶν, εἴπερ ὑπὲρ σωτηρίας αὐτῶν φροντίζετε. ἡμεῖς δ' οὐκ οἶδ' ὅν τινά μοι δοκοῦμεν ἔχειν τρόπον πρὸς αὐτά. ἔστι δὴ τάγε ἐμοὶ δοκοῦντα, ἕως τι κατεχομένην τῆς εὐσεβοῦς πολιτείας: ἐν τῷ παρόντι τὰς ἐλπίδας ὑπερβάντας; ἐν τοῦτο μόνον ζητεῖν, ὅπως εὖ διαγωνιώμεθα. δῆλον γὰρ, ὅτι νῦν οὐ περὶ δόξης, οὐδ' ὑπὲρ μέρους χώρας, ὁ τύραννος ἡμῖν πολεμεῖ: ἀλλ' ἀναστάσεως καὶ ἀνδραποδισμοῦ τῆς πατρίδος. σὲ γοῦν ὑπολαμβάνων μόνον ἱκανώτατον εἶναι πάντων, ἐπὶ τὸ βέλτιον μεταγαγεῖν τὰ παρόντα, παρακαλῶ τοῦ θεοφιλοῦς ἕνεκα, πείθειν ἐθέλειν γερμανοὺς, οἷς οἶδας τρόποις καὶ ὡς ἔχεις δυνάμεως, ἐς ἄλλον ἀναφέρεσθαι καιρὸν, τήν τε πρὸς ἀλλήλους, καὶ τὴν πρὸς ῥωμαίους φιλονεικίαν. δεινὸς δὲ εἶ τοῦτο δρᾶσαι, διά τε φρονήματος ὕψος, καὶ λόγου δύναμιν, καὶ τὴν λοιπὴν ἀρετήν. τοῦτο γὰρ μόνον ἀρκέσει τὴν ὁρμὴν ἀνασεῖλαι τοῦ σολιμάνου: τάχα δὲ καὶ τὸ θράσος ἐπιτρίψαι. εὖ γὰρ βούλευμα σοφὸν πολλὰς χεῖρας ὑπερνικᾷ, κατὰ τὸ σοφόκλειον ἔπος. ἄμεινον μὲν αὖ ἦν, εἰ μὴ ἐγένετο τὰ σκάνδαλα τὴν ἀρχήν: ἀλλ' οὖν γεγενότα, τὸ, βυθῷ λήθης παραδοθῆναι, κράτιστον ἔοικεν ἐν τῷ παρόντι γίνεσθαι. ὁ γὰρ σελιμάνης, ὡς ἐπυθόμην παρ' ἀνδρῶν οὐ ψευδομένων, κατὰ γῆν καὶ κατὰ θάλατταν, ὡς οὐδέποτ' ἄλλοτε, παρασκευαζόμενος, πρὸς γερμανοὺς πλησίστιος φέρεται: λεληθότως δὲ καὶ πρὸς ἅπαντας τοὺς λοιποὺς χριστιανοὺς, οὐδενὶ μᾶλλον ἄλλῳ θαρρῶν, ὦ γῆ καὶ ἥλιε, ἢ ταῖς πρὸς ἀλλήλους διαστάσεσι. σωφρόνων μὲν οὖν ἀνδρῶν ἐστὶ, καὶ λογισμῷ χρωμένων ἐν τοῖς τοιούτοις καιροῖς, τῶν οἴκοι διαφορῶν ἐπιλανθανομένους, μόνῳ προσέχειν τῷ πολέμῳ. ἠλίθιον γὰρ ἂν εἴη, καὶ πάνυ σχέτλιον, τῶν καθόλου, καὶ τοῦ περὶ ψυχῆς ἀγῶνος ἀμελήσαντας, τὸ λεγόμενον περὶ τῆς ἐν δελφοῖς σκιᾶς διαφέρεσθαι. Ὅπου γε καὶ τῶν ἀλόγων ὁρῶμεν τὰ πλεῖστα παρὰ τῆς σοφωτάτης φύσεως διδασκόμενα, ἐν ταῖς χρείαις ὁμοφρονεῖν, καὶ τοῦ κοινοῦ συμφέροντος μὴ ἀμελεῖν. κύνες γάρ τοι πολλάκις περὶ μικρῶν ὀσταρίων οἴκοι διαφερόμενοι, τὸν κλέπτην ἰδόντες προκύψαντα, εὐθὺς πρὸς ἀλλήλους συνέστησαν κατὰ τοῦ κοινοῦ λυμαντῆρος: καὶ σύες ὑπὲρ πόας ὀλίγης ἢ βαλάνου διιστάμενοι, τῶν θηρευτῶν παραστάντων; ἐπὶ τὸ κοινῇ συμφέρον ἐτράποντο, ὁμόσε γινόμενοι καὶ συνασπίζοντες ἀλλήλοις. ἀνθρώπους δὲ, γενομένους ἐν περιστάσει; πόσῳ μᾶλλον εἰκὸς ὑπὲρ τοῦ συμφέροντος συμφρονῆσαι; ἄτοπον παντελῶς καὶ ξένον, περὶ μετεώρων φιλονεικεῖν ἐν τῷ παρόντι. γρηγορεῖν ἀκριβῶς ὀφείλομεν, εἰ μὴ μαινώμεθα, καὶ πρὸς μόνον ἀτενίζειν τὸν κίνδυνον: ἵνα μὴ τὸν οὐρανὸν ζητοῦντες, τὴν γῆν ἀπολέσωμεν. Οὐ γὰρ οἱ νοῦν ἔχοντες, τὴν αὐτὴν γνώμην ἔχουσι περὶ τῶν πραγμάτων, κινδυνεύοντές τε καὶ μὴ κινδυνεύοντες: ἀλλ' ἀεὶ πρὸς τὰ παρόντα βουλεύονται, ταῖς περιστάσεσιν ἐπακολουθοῦντες: οὐδ' ἀκριβολογοῦσι τὸ δίκαιον, οἱ ἐν δεινῷ γενόμενοι: ἀλλὰ τοῦ συμφέροντος ἔχονται. πέπεισμαι δὲ νὴ τὸν ἐποπτεύοντα πάντα, ἂν ἅπαξ ὁμονοοῦντας ὁ τύραννος αἴσθηται γερμανοὺς, κἀγαθῷ τινὶ πειθομένους ἡγεμόνι: μηδ' ἐπιβῆναι τῆς χώρας αὐτῶν, ἄλκιμον παρὰ τὰ λοιπὰ τὸ γένος ἡγούμενος, καὶ πολεμικώτατον: ἀλλ' ὅπου γε διΐσανται; καὶ γυναῖκες ἂν αὐτῶν περιγένοιντο. ἐγὼ μὲν οὖν ἐλευθερίας ἐραστὴς ὢν διάπυρος, τοῦ εὐσεβοῦς ἕνεκα, ταῦτα πρὸς σὲ διεξῆλθον. σὺ δὲ συνετώτατε Φίλιππε, ἐς ἄκρον ἐληλακὼς τῆς ἑλληνικῆς παιδείας, οὐκ ἀπορήσεις παραδειγμάτων ἑλληνικῶν, δι' ὧν γερμανοὺς πείσεις ἑλέσθαι τὸ κράτιστον, εἰ τυχόν τις οἴκοθεν οὐ πείθοιτο. Ἔρρωσο, καὶ μὴ ἀπαξιώσῃς ἡμῖν ἀντεπιστεῖλαι, ἢ ἑλληνιστὶ ἢ ῥωμαϊστί. ἐλαφηβολιῶνος ζʹ. φθίνοντος αφμγʹ. ἐνετίησι.

Ad concordiam adhortatio, si salui esse uelimus.
Locus ex Olynthiaca.
Tu, philippe, hoc persuade Germanis.
Sic Turcis resisti poterit.
Solimanes uerò aduentat, nostris potissimù discordijs fretus.
Necessitas conspirare cogat.
Brutorù etiam animantium more.
Nolite nùc de reb. non magni momēti rixari: præ cœli studio terram amittere.
En sapientiam mundanam
Concordia Germanorū auertet Turcam.
ἡγύμενος, pro ἡγύμενον, scil. τὸν τύραννον.
Tu, Philippe, pro eruditione tua alijs multis rationibus ad tuos utère.
Scripta Venetijs 22. Febru. 1543.

## *ANNOTATIO.*

Huius Eparchi mentionem facit Melanchthon in Epistola ad Ioach. Camerarium 16. Februarij 1545. *his uerbis.* *Afferent Amantius & ketzmannus Elegiam Antonij Eparchi Corcyrei, qui ante biennium ad nos Græcam epistolam misit;*

De Antonio Eparcho Corcyræo.



Ε.Υ.Δ της Κ.τ.ΙΙ ΙΩΑΝΝΙΝΑ 2008

Et in alia ad eundem, eodem anno scripta.

*Dedi discedenti hinc Elegiam Antonij Eparchi, qui ex illa uetere Alcinoi insula Venetias migrauit, exhibendam tibi. Sigismundo uersus uidebantur confragosi & ieiuni. Sed ego dolori & luctui Autoris ueniam do. Tuorum tamen carminum lectione magis delector.*

Lil. Gyraldus lib. 2. opusculi de Poetis nostrorum temporum, Florentiæ 1551. excusi.

*Viuit adhuc Ant. Eparchus Corcyrens. inter Græciæ eruditos connumeratus. Qui Venetijs Græcas literas aliquandiu professus, demum Corcyram regressus ad suos, in literis consenescit.*

## *II. RESPONSVM IOACHIMI CAMERARII de præcedente Antonij Eparchi epistola, ad Matthæum Irenæum Francum.*

### ΜΑΤΘΙΑ ΤΩ ΕΙΡΗΝΑΙΩ ΦΡΑΓΚΩ Ἰωαχεὶμ ὁ Καμεράριος.

Cupis sententiam meam de Eparchi Epistola, Irenæe. Melanthonis reditũ expectamus.

Delectatus sum illa Epistola.

Lutherus, aduersus ignorantes eum tuendus.

Ego pro Philippo, licet difficile sit, respõdebo.

Ad modeste agẽtem Aduersariũ

Hortatur Eparchus Philippum ad componendũ turbas.

Ἐπειδὴ οὐ παύῃ ἐντυγχάνων ἡμῖν περὶ τῆς ἐκ τῶν Ἐνετῶν πεμφθείσης πρὸς τὸν Μελάγχθονα ἐπιστολῆς, καὶ τὰ δοκοῦντα ἡμῖν ἀνερωτῶν· ἀκούοις ἂν ἤδη, ὦ φίλτατε Εἰρηναῖε, ὅπερ ζητῶν οὐ διαλείπεις· καίπερ ὁσημέραι προσδοκώντων ἡμῶν τὴν αὐτοῦ τοῦ Φιλίππου ἀπόκρισιν, μᾶλλον δὲ παρουσίαν. ἦλθε γὰρ πρῴην τις ἐκ τῶν οὐδείων ἀγγέλλων, ὅτι ἀπιὼν ἐκεῖθεν, ἔλιπε συσκευαζόμενον ἐκεῖνον πρὸς τὴν ὁδόν, ὡς ἀπονοστήσοντα ὅσον οὐδέπω. εἴη δὴ τοῦτο, καὶ παρείη ἐκεῖνος ὅτι τάχιστα, ἐπανιὼν σὺν τύχῃ ἀγαθῇ πρὸς χαίροντας χαίρων. σοῦ δ' ὅμως ἐνισταμένου καὶ λιπαροῦντος, γεγράψεται νῦν ἡμῖν πρὸς σὲ τὰ μάλιστα ἐπὶ νοῦν ἐληλυθότα· διερχομένοις τὴν ἐπιστολήν, ἄλλως τε καὶ χρονίζοντος τοῦ Φιλίππου· ἱμέρῳ τινὶ σφοδροτέρῳ κατεχομένοις, εἰς τὸ συζητεῖν τι μετὰ σοῦ περὶ ἐκείνης· ἣν ἀναγνούς, ἥσθην τε τῆς λέξεως εὐαρμοστίᾳ, καὶ γνώμης εὐστοχίᾳ, καὶ ἐδόκουν ἐν ἐκείνῃ ἐναργῆ τινὰ εἰκόνα τῆς πάλαι ἑλληνικῆς σοφίας καθορᾶν. ἐχάρην δὲ καί, ὑπὸ τοιούτου ἀνδρὸς ἀξίως ἐπαινούμενον ἰδὼν τὸν Φίλιππον. περὶ δ' ὧν γέγραφε, πρῶτον μὲν ᾠήθην δεῖν ἐνθυμηθῆναι, οἷά τε ἐστί, καὶ ἐξ οἵας ἀρχῆς εἰκὸς προήχθαι αὐτά· καὶ ὅτι οὐ περιοπτέον τοὺς μετρίως διακειμένους πρὸς τοὺς ἀμφὶ τὸν Λυθῆρα, ἐν ἀγνοίᾳ τῶν ἐκείνων πραγμάτων πλανωμένους, καὶ ἀγνωμονοῦντας ἔσθ' ὅτε, διὰ τὸ οὐκ ὀρθὴν οὐδ' ἀληθῆ ποιεῖσθαι ὑπόληψιν περὶ τούτων. διὰ ταῦτα γοῦν οὐκ ὀλιγώρως, οὐδ' ἀμελῶς, ἀλλὰ σὺν σπουδῇ τε καὶ φροντίδι μεγάλῃ, ἀποκριθήσεσθαι τῷ ἐπιστείλαντι Φίλιππον ἐλπίζω. ἐροῦντι δὲ κἀμοί, συγγνώμη εἴη, περί γε τῶν ἐκείνου, καὶ τῶν ἄλλων ἁπάντων. ταῦτα δὲ εἶπον, θεωρῶν, ὡς χαλεπὰ τὰ ῥηθησόμενα· ἢν πρὸς ἀκριβῆ τινα ἔλεγχον ἐξετασθῇ· καὶ ὅτι τὰ ἀπ' ἐμοῦ, ἐνδεέστερα πολλῷ τῆς πρὸς τὰ τοιάδε ἀναγκαίας φρονήσεώς τε καὶ δυνάμεως τοῦ τὰ ἐννοηθέντα ἐκφράσαι. ἐνίκησε γοῦν ἡμᾶς σφοδρά τις ἐπιθυμία, περὶ τῶν μεγίστων εὐσχημόνως οὕτω καὶ ἐμμελῶς ἀμφισβητούντων, καὶ αὐτοὺς ὥσπερ ἐν συλλόγῳ τινὶ καὶ βουλῇ εὖ φρονούντων, περὶ τῆς ἀληθείας ἀγορεύειν τι. διόπερ χρὴ συγγνώμην ἔχειν· ἣν οὐδαμῶς σιωπητέα, ὡς λογιζόμεθα, ὑφ' ἡμῶν ἐνδεεστέρως λεχθήσεται. δοθῆναι δὲ χρεὼν τὴν χάριν ἐμοὶ ταύτην, δικαίως, ὡς οἶμαι, αἰτήσαντι. οὔτε γὰρ ἡ προθυμία ψεκτή, ὅ, τε ἀγὼν οὗτος κάλλιστος, πρὸς ἀντίπαλον, ἀγωνιζόμενον οὐκ ἀμούσως, οὐδὲ ἐκθύμως, ἥκιστα δὲ ἔτι συκοφαντικῶς· καθάπερ τοὺς πολλοὺς πεποιηκέναι τε, καὶ ἔτι δὴ ποιεῖν, πολλάκις ἀχθόμεθα· καὶ τὸ πρᾶγμα, πάντων ἤδη βλεπόντων, ἢ δυναμένων, ἢ καὶ μόνον βουλομένων, βοηθῆσαι, ἐν χρείᾳ γίνεται. ἐπῆλθε δέ μοι, γνώμην ἀποφαινομένῳ περὶ τῶν γεγραμμένων, ἄρξασθαι διαπορεῖν, ὥσπερ πρὸς τὸν ἐπιστείλαντα, ἐκεῖθεν· ἔνθα σχεδὸν τελευτῶν ἐκεῖνος, ἱκανώτατόν φησιν εἶναι τὸν Φίλιππον ἁπάντων, τοῦ ἐπὶ τὰ βελτίω μεταγαγεῖν τὰ παρόντα· καὶ παρακαλεῖ πείθειν τοὺς Γερμανούς, ἐθέλειν· καὶ δεινὸν εἶναι δρᾶσαι τοῦτο, δι' ἃ μὲν αὐτὸς λέγει, καὶ ἡμεῖς ἴσμεν προσόντα ἐκείνῳ, ἃ δὲ καὶ πορρωτάτω ἀπόντα εὑρίσκω. τὸ γὰρ ἐθέλειν τοὺς πολίτας ἀπὸ τῶν χειρόνων μεταστρέψαι ἐπὶ τὰ ἀμείνω Φίλιππον τὸν Μελάγχθονα, πάρεστι δὴ ἐκείνῳ, ὦ φιλότης, φαίην ἂν ἔγωγε πρὸς τὸν ἐπιστείλαντα ἐκεῖνο Ἀντώνιον, ἄνδρα νοῦ τε καὶ σοφίας εἰς ἄκρον ἐληλακότα διισχυρίσας· κἂν δέοι, ἐπομόσας· οὕτω ἐθέλειν ἐκεῖνον καὶ βούλεσθαι κατεργασθῆναι τοῦτο· ὥστε καὶ τὴν ψυχὴν ἕτοιμον εἶναι ἐπιβάλλειν τῇ σπουδῇ τε καὶ ἐπιθυμίᾳ, τοῦ, οὐ μόνον τοὺς ἡμετέρους πολίτας, ἀλλ' ἅπαντας ἀνθρώπους, ἀπαλλαχ-

θέντας

θέντας κακῶν, βίον διάγειν εὐτυχῆ τε καὶ εἰρηνικόν, πρός τε σφᾶς αὐτούς, καὶ δὴ καὶ πρὸς ἀγαθῶν ἁπάντων αἴτιον καὶ δωτῆρα θεόν. σημεῖα δὲ ταύτης τῆς γνώμης τε καὶ ἐννοίας, πάμπολλα ἐν μέσῳ καὶ ἐμφανῆ κεῖται, ὧν συνεβούλευσε, λέγων τε καὶ γράφων τὰ ἄριστα, καὶ ὠφελιμώτατα ἀεὶ ὑποθεὶς τοῖς ἐφεστῶσιν ἅμα καὶ δημόταις. Τίς γὰρ φωνὴν ἠκροάσατο (καὶ γὰρ τἀληθὲς εἰρήσεται ἡμῖν, οὐδὲν προτιμῶσι τῶν χλευασόντας ἴσως τάδε, καὶ φήσοντας, θωπείας τινὸς καὶ κολακείας μετέχειν. τὸ γὰρ ἁπλοῦν καὶ ἀτύφωτον ἐμοῦ, καὶ ἄλλοις δὴ πλείστοις, μὴ ὅτι ἐκείνῳ τε καὶ σοί, γνωστὸν ἤδη. διὰ τί δὲ ὀκνοίην φράσαι πρὸς σὲ περὶ ἐκείνου, φίλου ὄν: ἅπερ περὶ αὐτοῦ φθεγγομένῳ αὐτῷ, οὐδεὶς χαλεπήνειεν ἄν, ἐπί γε τοιαύτῃ περιστάσει τῶν πραγμάτων; τούτων οὖν παντάπασιν ἀφροντιστῶν, προσθήσω τοῖς λεχθεῖσι τὰ λειπόμενα) τίς ἄρα φωνὴν ἤκουσεν ἰέντος ἐκείνου ἐναντίαν, καὶ μαχομένην τῇ τε εἰρήνῃ καὶ ὁμονοίᾳ; τίς δὲ γράμμ᾽ ἀνελέξατο τῶν ἐκείνου στασιῶδες ἢ καχεκτικόν, ἢ ὅπως οὖν θορυβῶδες; μᾶλλον δὲ ἅπαντα εὑρεθήσεται εἰρηκώς τε καὶ γεγραφώς, εἰρηνοποιὰ καὶ διορθωτικὰ τῶν νῦν ἐπιπολαζόντων ἁμαρτημάτων τε καὶ ἀτοπιῶν. καὶ δεινῶς εὐλαβηθεὶς καὶ πεφυλαγμένως, μήποτ᾽ ἐμπνεύσαι οἷον πῦρ ἐν τῇ ὅπως δήποτε ἐγερθείσῃ ἐκκλησιαστικῇ διχοστασίᾳ: πρὸς ἣν ἀπροαιρέτως καὶ ἀκουσίως προσενεχθέντα ἐκεῖνον ἴσμεν, θεοῦ δήπου ἐπορέξαντος, ὡς πέπεισμαι ἐκ τῶν γεγενημένων. ἐπειδ᾽ οὖν οὐ προῃρημένος μέν, βεβιασμένος δέ, τῶν ἀντιλογούντων εἷς ἐγένετο: ὥσπερ οὐδὲν πώποτε μέρος τῆς ἀληθείας προὔδωκεν, ἀεί τε περὶ τηλικούτων τὸ μέγεθος καὶ τοιούτων πραγμάτων διειλέχθη τε καὶ ἔγραψεν ἐλευθέρως καὶ πεπαρρησιασμένως: οὐδὲ (καὶ γὰρ εἰρήσεται καὶ τοῦτο) ἀφιλοσόφως: οὕτω πάμπολλα παρεώρακεν οὐ βουλόμενος κινεῖν ἁμαρτήματά τινα τῶν ἐναντίων, ὥσπερ κακὰ εὖ πως κείμενα. τῶν δὲ πλείστων βλασφημίας καὶ κακηγορίας περιεῖδεν, οὐδ᾽ ἐπαΐειν προσποιούμενος, ὥσπερ μικρολογίαν τε καὶ φλυαρίαν παιδαριώδη: ἡγούμενός τ᾽ οὔτ᾽ ὄφελός τι κοινῇ, οὔτε κόσμον ἰδίᾳ, αὐτῷ εἴσειν τὰς ἀντιρρήσεις, οἷον εἰ σκυλακίων ἑλκισμοὺς καὶ ὑλαγμούς. τὰ δ᾽ ἐκπονηθέντα αὐτῷ χρησιμώτατα, πρός τε παιδείαν καὶ μαθήματα τῶν νέων, πῶς ἂν εἴποιμι; πῶς δὲ σιγῴην ἐπὶ τούτοις: οἷς τὴν τοῦ χριστοῦ ἐκκλησίαν μᾶλλον οἰκοδομηθεῖσαν, ἢ τοῖς τῶν πρότερον, οὐ μόνον χειροτεχνῶν, ἀλλὰ καὶ ἀρχιτεκτόνων, πολλαπλασίοις ἔργοις, ἔξεστι καταιδεῖν τῷ βουλομένῳ; καὶ λαλείτωσαν τόδε σιωπώντων ἡμῶν τὰ κάλλιστα μοχθήματα ἐκείνου, καὶ δήλην ποιείσθωσαν τὴν προαίρεσιν αἱ ἐπιχειρήσεις τε καὶ ἐξεργασίαι τῶν ἀεὶ βελτίστων. τὸ μὲν οὖν ἐθέλειν ἐκεῖνον, καὶ νῦν καὶ ἀεί, πάντα ἔχειν ἁπανταχοῦ καλῶς, φανερὸν τοῖς ἤτοι ἐγνωκόσιν αὐτόν, ἢ ἀνεγνωκόσι τὰ ὑπ᾽ αὐτοῦ ἐκδοθέντα βιβλία, τὸ δὲ δύνασθαι, οὐχ ὁμοίως ἔτι παρεσπόμενον οἶδα. θεία γὰρ ἂν ἰσχὺς ἦν αὕτη, καὶ ὑπὲρ πάντα ἄνθρωπον: τὰ ἐν οὕτω μακρῷ χρόνῳ διασκεδασθέντα συλλέγειν, καὶ συνάγειν διάφορα: καὶ τὰ ἐς ἔσχατον ἀπαλλοτριωθέντα συναλλάττειν. τοῦτο γὰρ ἤδη ἀπειρήκασι πράττουσαι ἀρχαί τε καὶ ἐξουσίαι ἔτη πλεῖστα: ὅσαι τῶν κατατρυχόντων σφᾶς τε αὐτούς, καὶ τῶν κατὰ μέρη διεστηκότας δόγμασί τε καὶ ἐπιτηδεύμασι, τοῖς μὲν ἀσυμφώνοις, τοῖς δὲ καὶ παντάπασιν ἐναντίοις. πῶς οὖν οἷός ἂν γένοιτο ἀποπλεῖν οὗτος: οἷς ἐκεῖναι ἐγκείμεναι καὶ μοχθοῦσαι ἡττήθησαν; καὶ λέγεται μὲν πολλὰ ὑπὸ πολλῶν: ἥπερ εὐνοίας πρὸς ἑκατέρους ἔχων τυγχάνει ἕκαστος, αἰτιώμενος τούτους, ἢ ἀπολογούμενος ὑπὲρ ἐκείνων. οὐ γὰρ μόνον οἱ μὴ ὁμοεθνεῖς ὄντες ἀλλήλοις διαφέρουσι τὰς φωνάς: ἄλλη δ᾽ ἄλλων γλῶσσα πολυσπερέων ἀνθρώπων, καθ᾽ Ὅμηρον: ἀλλὰ καὶ διάνοια, καὶ γνώμη, καὶ φρένες, μὴ βλέπουσαι ἐπὶ ταὐτά, ποιοῦσιν ἀλλοθρόους καὶ διαλέκτοις ἀνομοίοις χρωμένους. Εἰσὶ δ᾽, ὡς ἴσμεν, οἳ πάνυ βαρέως ὀργίζονται τοῖς ἀποχωρήσασιν ἀπὸ τῆς ἐκκλησιαστικῆς, ὡς αὐτοὶ ὀνομάζουσι, ποίμνης: καὶ καταλύσασιν. ὡς λέγουσι σφοδρότερα κατηγοροῦντες, τὸν τοῦ ζωοποιοῦ χριστοῦ δῆμον: θορύβῳ τε πιστεύοις, κἀμαθεῖ παρρησίᾳ; κατὰ τὴν τραγῳδίαν προστιθέασι δὲ καὶ τὰ θρυλλούμενα περὶ οὗ καὶ ὑπ᾽ αὐτῶν τοῦ χριστὸν σταυρωσάντων ἀτμήτου καὶ ἀμερίστου μείναντος χιτῶνος, ὃς νῦν διὰ τῶν χριστιανοὺς προσρηθῆναι αὐτοὺς ἀξιούντων σχίζεται διατεμνόμενος. ἔγκλημα μὲν ἐγκαλοῦντες οὗτοι, σιδήρου καὶ πυρὸς καὶ πετρῶν βολῆς ἄξιον. ἐχρῆν δὲ αὐτοὺς διασκεψαμένους, ἀποφήνασθαι τοσῷ δὴ ἐπιμελέστερον: ὅσῳπερ μεῖζόν ἐστι, καὶ ἧττον εὐκαταφρόνητα, περὶ ὧν ἀμφισβητοῦσι. Ἔστι δ᾽ αὕτη ἡ μάχη περὶ τῆς ἀληθείας, οὐ μέντοι ἀνθρωπίνης, ἀλλ᾽ ἀϊδίου καὶ θείας. τὴν δ᾽ ἀλήθειαν (ἄλλως τε καὶ ἐν τοιούτοις, οἷά ἐστι ταῦτα, οὐ περὶ τῆς ἐνταῦθα ζωῆς, οὐδὲ τῶν ἐπιγείων, ἀλλὰ περὶ βίου τοῦ αἰωνίου καὶ οὐρανίων) ταύτην οὖν τὴν ἀλήθειαν, ἀθάνατον οὖσαν, καὶ τῆς θεότητος μετέχουσαν (ὁ γὰρ χριστός ἐστιν ἡ ἀλήθεια) εἴ τις τολμᾷ προδιδόναι, ἤτοι ἀπίστῳ καὶ βεβήλῳ καὶ ἀσι-

Cupit hoc maximè Philippus.

Ipso nemo pacis studiosior.

Ad multa patiens.

Scripta eius utilia.

Sed nō potest omnia corrigere.

Mala enim inueterata sunt, & homines miri.

Dicūt, nos Apostatas esse Ecclesiæ.

De veritate diuina disceptatur.



Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2008

ἀσεβεῖ πονηρίᾳ, ἢ φόβῳ καὶ δειλίᾳ: τούτου τοῖς ἀγαθοῖς καὶ χρηστοῖς ξυναριθμεῖν οὐ τλαίην ἂν ἔγωγε. Ἐν δὲ τοιαύτῃ διχοστασίᾳ περὶ τῶν ἱερῶν καὶ ὁσίων, οὐκ ἐνδέχεται σύμβασιν γενέσθαι: ἀλλ' ἀναγκαίως ἔχει, πόλεμον εἶναι ἀεὶ καὶ μάχην καὶ ἔχθραν ἄπαυστον: ἕως ὃ δὴ

Veritas laborare potest, opprimi non potest.

μία τῶν χωρὶς διεστώτων μερίς, τὴν τῶν ἑτέρων νικήσασα, προσαγάγῃ τῷ αὐτῆς λογισμῷ, καὶ ὁμόδοξον ποιῇ. καὶ γίνεται ἔσθ' ὅτε τὰ πράγματα κρείττω, καὶ μείζων ἡ τύχη, τῶν ψευδέσι προσκεχωρηκότων, καὶ τυφλωττόντων περὶ τὸ ἀληθές: ἤτοι ζήλῳ ἀγνώμονι, ἢ φιλοτιμίᾳ δεινῷ κακῷ, ἢ φιλαργυρίᾳ, ἢ φιληδονίᾳ, ῥιζώμασι τῶν αἰσχρῶν, ἐνεχομένων: ὥστε τὴν ἀλήθειαν ἐνίοτε, ὥσπερ εἰς ἑαυτὴν συσταλεῖσαν, ἀναγκασθῆναι ζητεῖν, ὅποι κρυπτομένη λαθεῖν δύναιτο. οὐ μὴν ἀειφυγίᾳ πώποτε καταδικασθεῖσαν ἐκείνην ἴσμεν: ἀλλ' ἐπὶ χρόνον ἀδικηθεῖσαν μόνον, καιρῷ ποτε ἰδίῳ ἐπιφανεστέραν καὶ μεγαλοπρεπεστέραν, καὶ ἐξ ὑπερτέρας χειρὸς τοῖς ἐναντίοις εἰσαῦθις ἐπιτεῖλαι, καὶ κρατήσασαν ἐπεμβῆναι ποδί. τί δὲ πράξειεν ἂν ὁ τῆς ἀληθείας λάτρις, καὶ θεοφιλής, ἐν ἑκατέρῳ τῶν χρόνων ἐκείνων; ἢ τῇ τύχῃ ἐφεὶς αὑτόν, ὑπεξιούσης γενέσθαι τοῦ καιροῦ ὑπομένειεν, ὥστε πίπτειν, ἀλέκτωρ δοῦλος ὡς κλίνας πτερόν; ἢ εὖ φερόμενος,

Tunc fortis & constans ὁ εὐσεβής.

ἀλύειν τε καὶ περιφρονεῖν βούλοιτο; ἢ μᾶλλον καθήκει, τὸν τοιοῦτον καθεστηκότι τῷ φρονήματι, ἄτρεπτον διαμένειν: καὶ μηδέτερον ἐπὶ μέρος οἷον εἶναι ἔξω φερόμενον ἑαυτοῦ: καὶ συμφοραῖς μὲν περιπεπτωκότα, θαρσεῖν, καὶ τλῆναι ἐνὶ κραδίῃ, κατὰ Ὅμηρον: εὐημερίᾳ δέ τι χρησάμενον μετριάζειν: μεμνημένον, ὅτι διατέλους χρὴ πιστὸν τῇ ἀληθείᾳ, καὶ ἀμετάβλητον τηρεῖν ἑαυτόν; Ἐγὼ μὲν παντὸς μᾶλλον ὀρθῶς ἔχειν δοκῶ γενέσθαι οὕτως, ἢ ἐκείνως. Ἴδωμεν οὖν μετὰ ταῦτα, ὁπότεροι τῶν ἤδη περὶ τῆς εὐσεβείας διαφερομένων, τῆς ἀληθείας ἀντιλαβεῖν καὶ περιέχεσθαι φάσκοντες, οὐκ ἂν ἁμαρτήσαιμεν.

De nominibus præsentiũ sectarũ.

καὶ τὰ νῦν ἐπιπολάζοντα τῶν προσηγοριῶν ὀνόματα ἀντιτιθέντες ἀλλήλοις, οὕτω περὶ τοῦ πράγματος σκεψώμεθα: ἵνα μὴ τὰ δόγματα τοῖς δόγμασι παραβάλλοντες, οὐκ ἐπιστολήν, ἀλλὰ ξύγγραμμα, ἀπεργαζώμεθα. Οὐ μὴν ἀγνοοῦμεν, ἐπίφθονον εἶναι τὸ τῶν ὀνομάτων εἶδος: ἀλλ' ὅμως τοῦ συντόμου χάριν οὐκ ὀκνητέον χρῆσθαι αὐτοῖς. λέγονται γοῦν εὐαγγελικοί τινες, ἑπόμενοι σχεδὸν τῇ Λουτήρου διδαχῇ: ὑφ' οὗ πρώτου παρὰ Γερμανοῖς, τὰ ἑτέρων τῶν παπιστικῶν καλουμένων σφάλματα ἐπισημειοῦσθαι δοκεῖ: μηκέτι φοβουμένου, μὴ δὲ τὸν τῆς ἐναντίας συστάσεως ὄγκον, μὴ δὲ τὸν πρὸ ὀφθαλμῶν ὄντα ἐπὶ τοῖς μεταχειριζομένοις κίνδυνον, τοῦ μὴ ἐξομολογῆσαι ἀδεῶς τε καὶ ἀπαρακαλύπτως

Euangelici, Lutheri sectatores.

τὴν κατειλημμένην εὐαγγελικὴν ἀλήθειαν. τούτου δὴ γενομένου, κινηθέντων τε τινῶν καὶ προσαγομένων τῷ λόγῳ: τί πράξαντες οἱ ἕτεροι φαίνονται; μῶν σπουδάσαι, ἵνα κατορθώσωσί τι τῶν προγεγενημένων μοχθηρῶν; ἢ νουθετηθέντες, ὥσπερ ἀνακύψαι πρός τε τὴν ἀλήθειαν, καὶ τὸ δέον; πάντων μὲν γ' ἥκιστα. τοσοῦτον γὰρ δέουσι ταῦτα εὐγνωμονῆσαι: ὥστε εὐθὺ θυμῷ χρώμενοι, οὔτι καὶ ἀλογίᾳ, οὐδὲ περὶ ὧν ἡ μάχη ἐξετάσαντες, οὐδὲ τὸ τοῦ πράγματος μέγεθος πρὸ ὀμμάτων θέντες: οὐδ', ὡς ἔπος εἰπεῖν, θεοῦ ἢ ἀνθρώπων ὄπιν ἔχοντες, σὺν τῶν προδήλων μόνων

Papistæ, & eorum crudelitas.

καὶ ἀναμφισβητήτων ἁμαρτημάτων κούφῃ τῇ χειρὶ ἐπιλαβομένους, χαλεπώτατα περιέπειν, καὶ ἀγριώτατα διώκειν: καὶ τὸ λεγόμενον, πυρὶ ἅμα καὶ σιδήρῳ καταναλῶσαι σπεύδειν. καὶ κατὰ μὲν τὸ τούτων πρόθυμον κεῖται πάλαι ἤδη ἡ τῆς εὐσεβείας διδαχή, καὶ τὰ ἀποστολικὰ κηρύγματα κατεσιγήθη. τοῦ δὲ θεοῦ, ὥσπερ ἴκμενον οὖρον ἐπιπέμποντος, προχωρεῖ ὁσημέραι μᾶλλον, κἀπὶ μεῖζον ἔρχεται. ἐκεῖνοι δὲ οὐ παύονται πάντα μηχανώμενοί τε καὶ βιαζόμενοι: ὥστε κἂν μιχθείσης γαίας οὐρανῷ, κατεργάζεσθαι τὸ τῶν εὐσεβῶν λόγων πολέμιον καὶ

Pro mendacio contra ueritatem.

ἀντίπαλον αὐτοῖς. ἐξ ὧνπερ ἤδη φανερόν, ὡς οἶμαι: πότεροί εἰσιν οἱ τῆς ἀληθείας, ἢ τῶν ψευδῶν μισθοφόροι: καὶ πότεροι τῷ θεῷ δουλεύουσιν, ἢ ἐκείνῳ τῷ λεγομένῳ χρηματιστικῷ δαίμονι: οὐ λέληθε δὲ ἡμᾶς, οἷά τινες σκώπτοντες εἰς σὺν τὸν Χριστόν, τήν, ὡς ἴσμεν, τοῦ θεοῦ ἀλήθειαν, κηρύττοντας, λέγειν ἑκάστοτε εἰώθασι: καλοῦντες τούτους χθεσινούς, ἢ καὶ αὐθημέρους θεολόγους: καὶ ἀγανακτοῦντες, εἰ τοιοῦτοι νῦν, καὶ πρώην βλαστόντες, κατειδέναι ἀξιοῦσι τὰ προτέροις, ὡς ἔπος εἰπεῖν, ἀπαξάπασιν ἀπόκρυφα καὶ ἀγνῶτα γενόμενα. ἀπελθέτω δὴ ἐκποδὼν ἡμῖν τὸ τῶν πάλαι: καὶ τὰ παρόντα

Vocãt nos, subitò natos Theologos.

σκοπῶμεν: οὔτε γὰρ ἐκεῖνοι πάντες ὅμοιοι: καὶ ἀεὶ πλείους κακοί, κατὰ τὴν παροιμίαν, καὶ τοῦ θεοῦ κρίματα ἀνεξερεύνητά εἰσι. μὴ οὖν βλαπτέτω τὴν δόξαν τῶν τῆς ἀληθείας κηρυγμάτων, τὸ ἐναντιοῦσθαι τοῖς πρότερόν που διδαχθεῖσι: καὶ τὸ ἁπλοῦν, καὶ ἀλλότριον τῆς ἀμούσου σοφιστικῆς, σφιγγὸς κελαινῆς γῆρυν ἐκμιμουμένης. καὶ λέγωμεν πεποιθότες τῷ ἀληθεῖ: ὅτι πρὸς τὴν ἐναντίαν ἡ τῆς εὐαγγελικῶν διδαχὴ ὁρωμένη, τοσοῦτον διαφέρει αὐτῆς, ὅσον φῶς σκότους, καὶ ἡμέρα νυκτός, καὶ θάνατος ζωῆς, καὶ τὰ ἐπουράνια τῶν ἐν ᾅδου. καὶ ὅτι ἐν τοῖς ἡμετέροις χρόνοις ὁ θεὸς ἀνέῳξέ τινων τὰ τῆς διανοίας ὄμματα; ὥστε καθορᾶν τὸ ὑπὲρ ἀνθρωπίνων λογισμῶν ἀκατάληπτον θεῖον

καὶ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2008

καὶ ἀΐδιον θέλημα, περὶ τῆς σωτηρίας ἡμῶν, τῆς ἐν τῇ εἰς τὸν χριστὸν πίστει. εἰ δὲ χρὴ καὶ παρεπόμενά τινα τῷ πράγματι ἐπισκέψασθαι· ἀεὶ δήποτε εὑρήσομεν, τοὺς μὲν θεοφιλεῖς τε, καὶ τῷ θείῳ λόγῳ προσεσχηκότας, παρὰ τοῖς δυναμένοις διωχθέντας· καὶ ὥσπερ δῆλα ταῖς αὐτῶν ἐπιθυμίαις τε καὶ δόξαις ἐμποδίους ὄντας, ἀποσκευασθέντας πάσῃ μηχανῇ τε καὶ βίᾳ.

At sunt quidam nostrorum diuinitus illuminati.

ἀναθεωρῶμεν γάρ, εἰ δοκεῖ, τὰ ἀρχαιότατα· καὶ προΐωμεν ἐπὶ τὰ ἀεὶ προσεχῆ, καὶ ἀπὸ τῶν προφητευόντων παρὰ τοῖς Ἰουδαίοις, μέχρι τῆς τοῦ χριστοῦ ἐν σαρκὶ οἰκονομίας· καὶ μετ' ἐκεῖνον διὰ πάντων τῶν ἀποστόλων αὐτοῦ, καὶ τῶν πεπιστευκότων τῷ λόγῳ ἄχρι δεῦρο. τὴν αὐτὴν δήπου τύχην, καὶ ὅμοια τὰ συμβάντα, καὶ τέλος τὸ αὐτὸ, εὑρήσομεν, δόξοιεν ἂν τινὲς οὖν τῶν τοιούτων ἀνδρῶν ἄλλοι εὐσεβέστεροι, καὶ μᾶλλον φιλόχριστοι; οἵπερ καὶ αὐτοὶ ἐπιδεικνύουσι σαφέστατα τὴν αὐτῶν φιλαλήθειαν· καὶ πάντα πᾶσι τοῖς πρότερον δι' ἐκείνην κινδυνεύσασί τε καὶ κακωθεῖσιν ὁμοιότροποι καὶ σύστοιχοι ὄντες, καὶ τοῖς αὐτοῖς συμπτώμασι κεχρημένοι, φανεροί εἰσιν.

Etiam prophetę & Apostoli, per secutionē passi.

εἰ δὲ χρὴ καὶ τὰς παρ' ἑκατέροις μαρτυρίας ἐξετάσαι ἀκριβέστερον (χρὴ δ' ἴσως) οἱ εὐαγγελικοὶ προσφωνούμενοι, τὰ ἀπ' ἀρχῆς θεοπνεύστῳ γραφῇ, ἀπὸ τῆς τοῦ μωσέως ἐκφωνήσεως, μέχρι τῆς τοῦ σωτῆρος ἐπιφανείας, καὶ ἐντεῦθεν τὰ ὑπό τε αὐτῶν τῶν ἀποστόλων, καὶ τῶν ἐγγύτατα ἀεὶ ἐκείνων παραδοθέντα μαρτυρούμενοι, μετ' ἴχνη θεῖα προβαίνουσιν ἐπὶ τὴν τῆς ἀληθείας ἐξομολόγησιν. οἱ δὲ ἐναντίοι, σύμπνοιάν τινα παρέχουσιν οὐ πάνυ χρηστῶν τινων ἀνθρώπων· καὶ τὰ πάλαι τε καὶ νῦν ἐπισφαλῆ, τιθέντες θεμέλιον σαθρὸν τῶν σφίσιν ἀρεσκόντων· καὶ τηρήσεις τινὰς, καὶ νόμους ἰδίους, ἀπίστους, τῶν ἀμφισβητουμένων προβάλλονται βεβαιωτὰς, καθ' ἡράκλειτον.

Papistarum putrida fundamenta.

ἔστι δ' ὅτε καὶ γραφικαῖς ἀποδείξεσιν ἐπιχειροῦσι χρῆσθαι· ἀλλ' ἐν τούτῳ γελοῖοι μάλιστα γίνονται, ὥσπερ γαλαῖ κροκωτὸν ἐνδυσάμεναι· καὶ μωρίαν ὀφλισκάνουσι τοῖς καὶ παρ' αὐτοῖς πεπαιδευμένοις. καὶ οὐδὲν ἁπάντων σχεδὸν οὕτως ἔβλαψε τὸ πρᾶγμα· ὡς ἡ τῶν ἀπαιδεύτων, καὶ ἀναιδείας μεστῶν τινων, καὶ παραβόλων ἀνθρώπων, τόλμη, ἐν τῷ κατασκευάσαι τὰ ψεύδει τοῖς τοῦ ἀληθοῦς ἐπιχειρήμασιν· ἅτινα ἐκ τῶν ἁγίων γραφῶν ὑφελέσθαι, καὶ καταθραύοντες τῆς γνώμης ἅμα τε καὶ τῆς λέξεως τὸ ἄρτιον καὶ ἐμμελὲς, ἀεί πως συρράπτειν εἰώθασιν.

Scripturæ detorsiões.

εἰ γ' οὖν δεῖ καὶ τὰ μετὰ ταῦτα οὐδὲν ὑποστειλάμενον εἰπεῖν (δεῖ δὲ ἴσως) ἐγὼ μὲν οὐδένα συμβατικὸν, οὐδὲ εἰρηνικὸν λόγον ἔχω, οὐδὲ δύναμαι κατιδεῖν· πῶς ἂν ὁμογνωμονήσειαν οὗτοι, ὧν ἅτεροι μὲν ἁπάντων τῶν δεινῶν ὑπέρτερον, καὶ οὐδαμῶς ἀνεκτὸν ἡγοῦνται, σιωπᾶν αὐτοὺς· καὶ ἀποκρύψαντας τὸν τῆς ἀληθείας καὶ εὐσεβείας λόγον, ἐᾶσαι καταβοᾶν τοὺς ἐναντίους ἀνέδην τῶν θεοπνεύστων καὶ χριστοδιδάκτων ῥημάτων. οἱ δ' ἕτεροι οὐ βιώσιμον οἴονται εἶναι· εἰ μὴ τοὺς τετολμηκότας ἀνακύψαι κατὰ τηλικαύτης δυναστείας, καὶ οὕτω καλῶς ἱδρυμένης δόξης, καὶ τιμῆς ὑπερβαλλούσης παρὰ πᾶσιν, ἤτοι ἀπολέσοιεν, ἢ ἀναγκάσοιεν παλινῳδεῖν, καὶ μεταθέσθαι τὰ ἐκδεδομένα καὶ γεγραμμένα ὑπ' αὐτῶν. οὕτω γοῦν διακειμένων ἀμφοτέρων, ὥσπερ εἴπομεν· τίς ἐλπὶς γένοιτ' ἂν ὁμονοίας; ἢ τὸν φίλιππον οἰόμεθα ὑπομεῖναι ἂν τὸ πείθειν τοὺς λεγομένους εὐαγγελικοὺς· ὥστε τὴν ἀλήθειαν, καὶ τὸν χριστιανισμὸν προδιδόντας, προσχωρῆσαι τοῖς ὑπ' αὐτῶν κατεγνωσμένοις ψεύδεσιν; ἔχοι δ' ἂν δηλαδὴ ὁ λόγος οὗτος ὡδί πως.

Nulla concordię spes interLutheranos & Papistas.

Ἐγὼ μὲν, ὦ ἄνδρες γερμανοὶ, καὶ ἀεὶ δήποτε κέκρικα παρ' ἐμαυτοῦ, καὶ νυνὶ πέπεισμαι· ἀληθῆ εἶναι, ἅπερ κατὰ τῶν λεγομένων παπιστικῶν τινων (οὐ γὰρ λέγω ἁπάντων, ἀλλὰ τῶν ἐνόχων τούτοις) αἰσχυντῶν ψευδῶν, καὶ ὀλεθρίων ἀπατῶν, καὶ χριστομισοῦς ἀσεβείας, ἐν τούτῳ καιρῷ ὑφ' ἡμῶν ἐλέχθη τε καὶ ἐγράφη. ὁρῶ δ' ὅμως, ὅτι διαστάντες τοῖς δόγμασι, καὶ ταῖς γνώμαις μαχόμενοι, κινδυνεύετε ταῖς ἐσχάταις συμφοραῖς περιπεσεῖν· καὶ ἐστερῆσθαι τῆς πατρικῆς, καὶ τοσούτοις τε καὶ τηλικούτοις πόνοις περιποιηθείσης ὑπὸ τῶν προτέρων ἀρχῆς· γενομένης λείας, οὐκέτι ἐρήσομαι ὧν τινων, τοῦ δυσφήμου ἕνεκα. διὰ ταῦτ' οὖν κἀγὼ μεταβάλλω τὰ πρὸ τοῦ δεδογμένα, καὶ γίγνομαι ἄλλος τὴν διάνοιαν. οὐδὲ τῶν οὐρανίων ἔτι μέλει μοι, καὶ τὴν γῆν περισκοπῶ μᾶλλον. ἄγε δὴ τὴν ἀλήθειαν ἀνεξέταστον καταλείπωμεν, ὦ ἄνδρες· ἡ προφανῆ αὐτὴν, καὶ οὐδενὶ σχεδὸν ἀνθρώπων ἁπάντων ἄδηλον οὖσαν, πόρρω ποι ἀπορρίψαντες, ἔνθα μηκέτι πρὸς ἡλίου φῶς ἀνέρχοιτο, τὸ μεταξὺ τῶν ψευδῶν καὶ τοῦ σκότους ἀντεχώμεθα· καὶ συμπνεύσαντες μετ' ἀλλήλων, ὥσπερ οἱ πάλαι τιτᾶνες λεγόμενοι· πρῶτον μὲν τοῖς οὐρανίοις ἐπιθώμεθα, τὴν θείαν τιμὴν καθελόντες· ἔπειτα δὲ καὶ τὰ ἐπὶ τῆς γῆς καταλαζονευόμενοι διατάξωμεν, ὡς δόξει ἥδιστά τε καὶ ξυμφορώτατα ἑξῆς ἕκαστον. ἢ μᾶλλον τῷ μὲν θεῷ, καὶ ταῖς περὶ ἐκείνου μακαρίαις φύσεσι, τὴν οὐρανίαν ἕδραν, ἀσφαλῆ καὶ ἄψαυστον ἀπολείπωμεν·

Ficta oratio qua Philippus recantare iuberet Euangelicos.

τὸ δὲ, ἀδύνατον.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2008

μεν· ἡμεῖς δὲ τῆς ἐκείνης μερίμνης, καὶ φροντίδος τῶν μετὰ τὴν ζωὴν ταύτην προσδοκηθησομένων, ἐλεύθεροι, τὴν γῆν ὑφ' ἡμῶν θέντες, ἀπολαύωμεν τῶν ἡδέων, ἀποσκεδάσαντες τοὺς λήρους, καὶ τὴν φλυαρίαν, τῶν πρὸς τοὺς πολλοὺς καὶ τὸν δημοτικὸν συρφετὸν ἐξενεχθέντων. παυσώμεθα δὴ πολεμίζοντες περὶ πράγματος τοιούτου, καὶ στασιάζοντες ἐν ἡμῖν, τὸ δὴ λεγόμενον, ὑπὲρ ὄνου σκιᾶς. ἀλλὰ κἀγὼ καταπαύσω ἐνθάδε τὸν λόγον. αἰσθάνομαι γὰρ τῆς ἀπειροκαλίας· καὶ αὐτὸς αἰδοῦμαι ματαιολογοῦντα πάλαι ἤδη ἐμαυτόν. ἵνα δὲ καὶ νῦν ὥσπερ ἀδολεσχῶν εἴπω, οἷον ἐξ ἀρχῆς, περὶ τοῦ τῶν διχοστασιῶν κακοῦ, ᾧ πάντα νῦν ὑφημμένα φλέγονται ἀσβέστῳ πυρί·

Causæ harũ discordiarum.

οὐκ ἔχομεν δὴ χρείαν ὁμηρικῆς τινος ἀρχῆς, ἵνα ἐπικληθεῖσαι αἱ μοῦσαι εἴπωσι, τίς τάρ σφωε θεῶν ἔριδι ξυνέηκε μάχεσθαι; εἰσὶ γὰρ αὗται ἀρχαί, καὶ τὰ ἐντεῦθεν, σχεδὸν καὶ τυφλοῖς, φασί, δῆλα. πρώτη γὰρ (ἵνα περὶ πρώτων ἐρῶ) μῶν ἀμφίλογος ἡ τῶν ἐκκλησιαστικῶν πραγμάτων διαφθορά; ἢ μέμψεις τῶν ἁμαρτημάτων, καὶ κατηγορίαι τῶν λεγομένων· ὅτι ἀείποτε αἴτιοι ἐγένοντο, καὶ νῦν δή εἰσι, τῶν δεινῶν· οὐχ ὥσπερ ἐξ ἑνὸς στόματος, ἀπὸ παλαιοῦ συμφωνοῦσι καὶ συνᾴδουσιν; ἐρωτάτω γοῦν τις τῶν ἐν τοῖς ἐκκλησιαστικοῖς προέδρων τινά· τί ἄρα καθήκει, καὶ ἀνάγκη ἐστίν, εἰδέναι τε καὶ πράττειν, τὸν ὀρθῶς καὶ ἀληθῶς ὄντα ποιμένα τοῦ θείου τῶν χριστιανῶν ποιμνίου; καὶ σκοπείτω μετ'

Episcoporũ & Ecclesiarum corruptio extrema.

ἐκείνου αὐτός, ποῖα ἅττα νῦν ἐπιτηδεύουσί τε καὶ δρῶσιν, οἱ νῦν καλούμενοι ἐπίσκοποι καὶ προστάται· οὐχ ὁ μέν, ὃς δ' οὔ, ἀλλ' ἀπαξάπαντες. ἵνα μή τις οἴηται ἡμᾶς περὶ ὀλίγων τινῶν πλημμελείας λέγειν. ἡ μὲν γὰρ τάξις διεταράχθη ὅλη, καὶ τὸ σύστημα ἅπαν διελύθη, καὶ ἐφάνη ἀνάρμοστον· πάλαι μὲν ἤδη, ἐν δὲ τοῖς ἡμετέροις χρόνοις τοσαύτη κακία καὶ φθορὰ διάδηλος ἐγένετο· ὥστε ἀφόρητον ἔτι εἶναι, καὶ ὀφθεῖσαν ὑπὸ πᾶσι δυσχεραίνεσθαί τε καὶ ἀποιωνίζεσθαι· καὶ δὴ καὶ ξυγχεῖσθαι ὑπ' αὐτῶν τῶν ἐνεχομένων τῇ πολιτείᾳ, καὶ ἀπολαυόντων τιμῆς τέ τινος καὶ κέρδους. εἶεν δή. τῶν ἐκκλησιαστικῶν προεδρειῶν οὕτω μοχθηρῶς ἐχουσῶν, τίς παρὰ τῶν ἄλλων βοήθεια ἐπενοήθη; ἐλεεινόν, ὥστε μεμνῆσθαι, καὶ τόδε. καὶ ὀκνῶ μὲν μνείαν ποιεῖσθαι περὶ αὐτοῦ, ποιητέον δ' ὅμως ἐφεξῆς· ἵν' ἀποτελῶ, οἷον ὕφασμα τόδε τοῦ λόγου. τινὲς οὖν εὐθύς, οὐκ οἶδ' εἰ δι' αὐθάδειαν, εἰ ὑπὲρ δόξης, ἢ ἐλπίδι πλέον τι ἕξειν τῶν ἄλλων, ἢ ὁποίᾳ δήποτε βου-

Iniquitas, impudẽtia, crudelitas, ueritatis aduersariorũ.

λήσει, τῶν μέγιστα δυναμένων, οὐ προσέκρουσαν βαρύτατα τῇ εὐαγγελικῇ διδαχῇ; ἀγνωμοσύνῃ τε ἅμα χρησάμενοι· καὶ ἡγούμενοι, τοὺς ὑπ' ἐκείνης κινηθέντας, καὶ εἰκῇ πως συναχθέντας, ἐν τάχει οἷον πυρουμένους διασκεδασθήσεσθαι. καὶ τότε, ἤτοι τῶν παρ' ἐκείνοις συκοφαντῶν, καὶ σοφιστῶν τινων δεδοικότων· μὴ τῆς θεοπρεποῦς φιλοσοφίας προφανείσης τε καὶ στερχθείσης, αὐτοὶ κάκιον φέροιντ' ἄν· βάρβαροί τινες ὄντες τὴν διάνοιαν, καὶ ἀνεπιεικεῖς τὸν τρόπον· ἤτοι ἄρα τούτων τοὺς ἐν ἐξουσίᾳ ἐκπικρηνάντων, καὶ διαστρεψάντων· ἢ αὐτοί πως ἀστοχήσαντες οἱ πάνυ τοῦ σκοποῦ, πρὸς ταῦτα ἀπηνέχθησαν· τότε τοίνυν, ὦ φίλε χριστέ, πῶς ἐρῶ; τολμηρῶς καὶ ὠμῶς καὶ τυραννικῶς; τοὺς ἀπὸ τῆς προτέρας ἀγνοίας καὶ ἀφροσύνης ἀνεγειρομέ-

Carnificina in pios.

νους, καὶ πρὸς τὴν σὴν ἀλήθειαν ἀνακύπτοντας, καὶ μὴ περιμείναντας οὐδ' ἐλπισθησομένην τῶν προέδρων ἡγεμονίαν ἐπ' ἐκείνην· πῶς οὐκ ἀεικῶς τε καὶ ἀναξίως, καὶ ἀπανθρώπως τιμωρεῖσθαι προῄρηνται; ἀσχολίας γενομένης ἐνταῦθα πᾶσι σχεδὸν δημίοις, καὶ οὐδὲ ξίφους, οὐδὲ καλωδίων, οὐδὲ πυρός τε καὶ ὕδατος ἀργοῦντος. καὶ εἶχε δ' ὅμως ἡ τῶν πραγμάτων κατάστασις τρόπον τινὰ οὕτως· ὥστε σιωπώντων ἀνθρώπων, τὰς πέτρας εἰκὸς εἶναι ἀπηχεῖν ἐθελῆσαι, κατηγορούσας τῶν τὴν ἀλήθειαν ἀπεμπολώντων, καὶ τὴν τοῦ θεοῦ ἐπὶ εὐθρησκείᾳ βεβηλό-

Propter verbi Dei *παρρησίαν*.

τατα ψευδῆ ἐπισωρευόντων. Καὶ ἠκούετο μὲν ἀρχόμενος, ὁ τῆς ἐκκλησιαστικῆς οἷον νόσου ἐπιλαμβανόμενος λόγος, οὐκ ἀηδῶς παρὰ πολλοῖς· χρόνῳ δὲ καὶ τραχύτερον ἐκείνου ταῖς ἁμαρτίαις, ὑπὲρ ὧν ἤδη καὶ ἀπολογίαι κατεσκευάζοντο, προσφερομένου· καὶ οὐδενὸς ἁπάντων, ὡς ἔπος εἰπεῖν, φειδομένου· οἱ πλεῖστοι βαρέως ἤνεγκαν τὴν παρρησίαν, καὶ τὸ τῆς θεραπείας λυπηρὸν μισοῦντες, ἀπεστράφησαν. ἔχει δὲ καὶ τοῦτο ἂν τοῖς εὖ, ὅ, τι μάλιστα τῷ ἰσοκράτει εἰρημένον· ὅτι ἔμφυτόν ἐστι τοῖς νενουθετημένοις, μὴ πρὸς τὰς ὠφελείας ἀποβλέπειν· ἀλλὰ τοσούτῳ χαλεπώτερον ἀκούειν τῶν λεγομένων, ὅσῳ περ ἄν τις ἀκριβέστερον αὐτῶν ἐξετάζῃ τὰς ἁμαρτίας· ὅπερ καὶ τότε ἐγένετο. πάντες γὰρ σχεδὸν ὀργισθέντες τῷ τῆς ἀληθείας λόγῳ, οἱ πρὸ ὀλίγου οὐκ

Caroli Imp. moderatio & studium.

ἀπεχθῶς πρὸς ἐκεῖνον ἐσχηκότες, ἐχαλέπηναν μέν· τὴν δὲ μοχθηρίαν, καὶ κακοήθειαν, καὶ τὸ πονηρὸν γνώμης τε καὶ τρόπου, ὅπερ ἐχρῆν παῦσαι, οὐ μετέβαλον. τοιγάρτοι μίση, καὶ φθόνοι, καὶ ἔριδες, πάντα κατέσχεν· ὑφ' ὧν νῦν τὰ κοινὰ λυμανθέντα ἀπόλλυται. ἔχω δὲ ἐνταῦθα φανερὰν μέν σοι, οὐδὲ μὴν καὶ ἄλλοις ἄγνωστον οὖσαν, ἐγκωμιάσαι ἀξιολόγοις ἐπαίνοις τὴν τοῦ αὐτοκράτορος καρόλου ἀρετήν τε καὶ εὐσέβειαν.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2008

βειαν. ὃς δὴ τί μὲν οὐ κατενόησε; τί δὲ οὐκ ἔπραξε; τίνα δὲ δυσχέρειαν προὐφασίζετο; τίνας δὲ πόνους ἔφυγεν, ἐν τῷ σπουδάσαι, ὥστε τὰ οἱονεὶ διεστραμμένα ἐν τοῖς ἐκκλησιαστικοῖς ἐπανορθωθῆναι. καὶ τούτου τοίνυν τῇ προθυμίᾳ τίνες μάλιστα ἠκολούθησαν, τίνες δὲ ἀπελείφθησαν αὐτῆς: θεωρείτω ὁ βουλόμενος, εἰς τὰ καὶ νῦν ἔτι γιγνόμενα καπιδών: καὶ φρασάτω τὸ συμβαῖνον. ἡμεῖς γὰρ τούτων ἤδη καὶ δεινότερα ἄλλα πλεῖστα προσπτύχθαι ἐάσομεν ἀχνύμενοί περ. Τίς οὖν βοήθεια τῷ καθόλου γίγνεται ἀπὸ τοῦ ἱεραρχικοῦ, ἔπειτα δὲ ἅπαντος τοῦ ἱερατικοῦ τάγματος, ἥκιστά γε τούτου τοῦ ὀνόματος ἀξίου; μόνων ἅπαντες σχεδὸν πρὸς τὴν ὥσπερ ἐξέτασιν καὶ βάσανον παντὶ σθένει ἀπομάχονται; βασιλεῖς δέ τινες, τί ποιοῦσιν; οἱ μὲν ἡδοναῖς μεταξὺ δουλεύοντες, ἐν ἀπολαύσει τῶν ἡδέων νῦν οὕτω, μετ' ὀλίγον δὲ ἑτέρως, φρονοῦσιν: ἑλικτά, καὶ τὰ λοιπὰ παρ' Εὐριπίδῃ: καὶ ἔξω ἀεὶ πρὸς τὸν καιρὸν πίπτοντες; οὐ Χῖοι, ἀλλὰ Κῖοι, ὡς ὁ κωμικὸς ἐχαριεντίσατο. οἱ δὲ καὶ προδήλως πολεμοῦσι πρὸς αὐτόν: φάσκοντες, εἶναι τῆς τῶν ἱερέων ἀξιώματος φύλακες καὶ ἐπίκουροι: ὄντος παρ' αὐτοῖς οὐδενὸς ἱεροῦ; κατὰ τὴν παροιμίαν ζητοῦντες ἄρα τοὺς ὑπὲρ κεφαλῆς ἤδη αἰωρουμένων κακῶν αἰτίους; ζητεῖ τις τοὺς τὴν τῶν Τουρκῶν δύναμιν αὐξήσαντας; τοὺς τὰ τῶν χριστιανῶν πράγματα διαφθείραντας; ἐκείνους νομιζέτω ἐν ἐγκλήματι δεῖν ἔχειν: ἐκείνους τοὺς προστροπαίους, καὶ τοσούτων φόνων αὐθέντας, καὶ τῆς ἡμετέρας ταλαιπωρίας καὶ περιοχῆς ἁπάσης, εἶναι αὐτοβούλους τε καὶ αὐτοπράκτορας.

Pontificiorum, & aliorum Regū, socordia.

τούτων τῶν ἔργων, ἡγείσθω τις, τὸ τῆς Εὐρώπης τὰ πρωτεύοντα καὶ στρατηγικώτατα ἔθνη, σχεδὸν ἤδη περὶ ἀνδραποδισμοῦ κινδυνεύειν: καὶ τῆς σωτηρίας τὰς ἐλπίδας, οὐκ ἐν τοῖς αὐτῶν πράγμασιν, ἀλλ' ἐν ταῖς τῶν ἐναντίων κακοπραγίαις, καὶ ἐπὶ τύχης, ἔχειν σαλευούσας.

Culpa ipsorum inualescit Turca.

Τούτοις οὖν, εἴ τις φροντίζει τῶν κοινῶν ἀγαθῶν, συμβουλευέτω: τούτους, εἰ δύναιτο, πειθέτω: μὴ τῇ πλεονεξίᾳ ὅλους ἑαυτοὺς παραδοῦναι, μὴ ὑπηρετεῖν ἅπαντα ταῖς ἐπιθυμίαις, οὔσαις ταῖς πλείσταις πάνυ αἰσχραῖς. Μὴ ἀγαπᾶν τὴν ἀνθρώπων δόξαν μᾶλλον τῆς παρὰ τοῦ θεοῦ. Μὴ ἀμπλακόντας παρὰ θεῷ, τιμὴν παρ' ἀνθρώποις ἀμεῖψαι. Μὴ τὴν θείαν οὕτω λαμπρῶς ἤδη προφαινομένην ἀλήθειαν, ἐν ψεύδει ἔτι κατέχειν. Οἱ δὲ ἐπιτιμῶντες ταῖς ἀπάταις τῶν πλανώντων τοὺς ἀνθρώπους, καὶ τὰ ψεύδη ὥσπερ τῇ φαρμακείᾳ οὐδὲν ὠφελούμενα, τομαῖς ἤδη καὶ καύσεσι χειρουργοῦντες, οὐδαμῶς αἰτιατέοι εἰσίν: ὡς τῶν ἐγκρατῶν τῷ κακῷ γενόμενοι: πολὺ δ' ἧττον, ὡς ἀφεστηκότα τοῦ καθολικοῦ καὶ ὀρθοδόξου δόγματος μέρος. ἐπειδὴ οὐδὲ ἰατρός ποτε τεχνικός, ἀλλὰ νόσος κακοποιός, ἐγκαλεῖσθαι εἴωθε.

Ipsi moneantur, ut ad sanitatem redeant.

καὶ οἱ ἀπὸ τῶν ἐπαινετῶν χωροῦντες πρὸς τὰ ψεκτά, μέμψεως ἑκάστοτε ἄξιοι: οἱ δὲ τοὐναντίον, ἀπὸ τῶν ψεκτῶν πρὸς τὰ ἐπαινετά, οὔ. τῶν μὲν οὖν τῆς ἐκκλησιαστικῆς δυναστείας κυρευόντων, οὐδὲν ἧττον διὰ φροντίδος ἐχόντων, ἢ τὸ τῆς ἀληθείας ἐπιμελεῖσθαι: τῶν δὲ βασιλέων ἔχθραις παντοίαις διαφερομένων, καὶ ὀλεθρίᾳ ἔριδι μαινομένων, καὶ παντὶ ἀφ' οὗ πλέον αὖ ἔξειν ἐλπίς, ἐπιχειρούντων: τῶν πολλῶν δέ, βεβήλως μὲν ἤδη πρὸς τὰ θεῖα, ἀπειθῶς δὲ πρὸς τὰς ἐννόμους ἀρχάς, προπετῶς δὲ καὶ ἀπίστως πρὸς σφᾶς αὐτούς, ἐχόντων: μάτην οἶμαι πραγματεύοιτ' ἄν τις περὶ συμβάσεώς τε καὶ ὁμονοίας.

Omnia membra Reipu. νοσοῦσιν.

Λείπετ' οὖν τὸ τοῖς ἁμαρτανομένοις ἐπιτιμᾶν, καὶ μὴ παύεσθαι τοῦ διαβόητον ποιῆσαι τὴν τῆς ἀληθείας ὁδόν, καὶ τοῦ τῶν ψευδῶν ἀποτρέψαι ἅπαντας: μαρτυρομένους τόν θεόν τε, φασί, καὶ τοὺς ἀνθρώπους: ὅτι καθαρᾷ γνώμῃ, καὶ σωτηρίῳ λόγῳ, καὶ θεοφιλεῖ διανοίᾳ, καὶ χρηστῇ προαιρέσει, καὶ ὠφελίμῳ βουλεύματι, ἐπειράθησαν τὸ βοηθῆσαι τῇ πατρίδι. τὸ δ' ἀποβησόμενον, θεὸς ἂν εἰδείη. πάντως καὶ κρείσσων ἐμπαθοῦς ὁμονοίας, ἡ ὑπὲρ εὐσεβείας διάστασις, ὥς που φησὶν ὁ θεολόγος.

Ideo, desperata concordia, tantùm ueritas annuntianda.

καὶ λέληθε μὲν ἥκιστα ἡμᾶς, ὅτι τῶν εἰρημένων ἔστιν ἴσως οὐδέν, ὃ σὺ μὴ γινώσκεις αὐτός: ἀκηκοὼς πολλάκις διεξερχομένων ταῦτα τῶν τοῦ εὐαγγελικοῦ συστήματος κορυφαίων. ἐγὼ δέ, πρῶτον μὲν κοινωνόν σε ποιεῖν ἠθέλησα τῶν ἡμετέρων διανοημάτων, καὶ δοκιμαστὴν τῶν λεχθέντων: ἔπειτα δὲ ἀθροῖσαι κεφάλαιά τινα ἐβουλόμην, περὶ ὧν ἀφθονώτερον διαλέγεσθαι, καὶ ἐξ ὧν πλείω εὑρίσκειν δύναιτ' ἄν, ἤτοι αὐτὸς ὁ Φίλιππος, ἢ καὶ ἄλλος τις, ὥσπερ ἂν ἀρέσκοι χρήσασθαι τῇ ἡμετέρᾳ ὑφηγήσει.

Epilogus ad Irenæum.

νῦν ἄρα σὸν ἔργον, ὦ Εἰρηναῖε, παραινεῖν τῷ Φιλίππῳ, ἀναβαλλομένῳ γε τὸ ἀποκρίνεσθαι (ὃ δὴ ποιησόμεθα καὶ ἡμεῖς) μὴ περιιδεῖν, οὔτε τοὺς τοιούτους ἄνδρας ὁποῖος εἶναι ἐκεῖνος ὁ ἐπιστείλας νυνὶ τῷ Φιλίππῳ φαίνεται, ἄλλως ἢ δεῖ φρονοῦντας περὶ ἡμῶν, οὔτε τὴν ἀλήθειαν ὥσπερ ὑπὸ κλύδωνος τῶν διαβολῶν εἰκῇ φερομένην: διαταρασσόντων τὴν ὑγιαίνουσαν διδαχήν, οὐ Βορέου, οὐδ' ἀργέσταο νότοιο: ἀλλὰ τῶν φθονούντων καὶ φαυλιζόντων τοὺς τῶν ὀφθαλμοφανῶν ἁμαρτημάτων ἐλέγχους: καὶ ἀντὶ τῆς ἐν ἐξομολογήσει μετανοίας, παρασκευαζόντων ἀπολογίας τε τούτων, καὶ ἀντικατηγορίας, μᾶλλον δὲ λοιδορίας τῶν εὖ φρονούντων:

Respondendum esse illis, apud quos doctrina nostra διαβάλλεται.

οἵπερ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2008

οἵπερ ἐρίζουσί τε καὶ μάχονται περὶ τῆς ἰδίας δόξης καὶ δυνάμεως, προφάσει τῶν ἐκκλησιαστικῶν, καὶ εἰσὶ τοιοῦτοι πάντες μὲν οὐ τῶν παπιστικῶν ὀνομαζομένων. Τούτοις οὖν βοηθοῦν, ἐκείνοις δὲ ἐναντίον, χρὴ θέσθαι τὸν λόγον, οἷον ὅπλα· ὥστε μὴ ληφθῆναι τοὺς εὔνους ἐρήμους συμμάχων, καὶ τοὺς πολεμίους ἧττον ὑβριστικῶς τῇ ἀληθείᾳ ἐπιδραμεῖν· ὥσπερ εἰώθασι ποιεῖν, μὴ ἀνεσταλμένοι, μήτε κεκωλυμένοι ὑπὸ κρειττόνων. καὶ μέχρι μὲν τῶνδε προβεβηκότα τὸν κάλαμον καταπαύσωμεν ἐνθάδε. εὐχώμεθα δὲ κοινῶς τῷ ἀιδίῳ λόγῳ τε καὶ υἱῷ τοῦ θεοῦ, τῷ αὐτῷ θεῷ ἀληθεῖ, ὃς
Christus misereatur Ecclesiæ suæ. σὰρξ ἐγένετο, καὶ ἦλθεν εἰς τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι, τῷ κυρίῳ ἰησοῦ χριστῷ· τούτῳ οὖν εὐχώμεθα, καὶ τούτου δεώμεθα, ἐλεῆσαι τὴν ἐκκλησίαν αὐτοῦ, τὴν ἀγορασθεῖσαν καὶ περιπεποιημένην ὑπ' αὐτοῦ τιμῇ αἵματος ἰδίου· καὶ ἀπερύκειν τὴν τῶν αἱρεσίων ὁρμήν, καὶ σώζειν τὰ πρόβατα, καὶ φυλάσσειν ἀπρόσιτον τὸ μικρὸν ποιμνίον, ἀπὸ λύκων ἀγριωτάτων, κύκλῳ περιιόντων, καὶ ζητούντων, τίνας καταπίωσιν. αὐτῷ σὺν τῷ πατρί τε καὶ ἁγίῳ πνεύματι, ἀφθάρτῳ, ἀοράτῳ, μόνῳ, σοφῷ θεῷ, τιμὴ καὶ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν. Ἔρρωσο ἐκ τῆς Λιψίας, τῇ δευτέρᾳ τῆς πεντηκοστῆς, ἔτει τῆς τοῦ χριστοῦ σωτῆρος γενέσεως αφμδ'.

## *ANNOTATIO.*

*Phil. Melanchthon ad Ioach. Camer. 1543. Matthæus noster, inquit, affert tibi Græcam Epistolam, sanè luculenter scriptam: etsi nostris controuersijs est iniquior. Omnino erunt componendæ Responsiones: de quibus tecum loquar, cùm istuc uenero.*

Ἐκ τῶν ἔθνων) *Hermanno Coloniensi Archiepiscopo, emendationem suarum Ecclesiarum instituente: eam ad rem accersitis Phil. Melanchthone, Martino Bucero, & alijs (licet Cleri uitio póstea res non successerit) mense Aprili Philippus profectus, & Bonnæ cum Archiepiscopo uersatus, mense Augusto domum redijt. 1543. etsi Camerarij Epistolam, anno proximè insecuto scriptam esse, numerus in fine positus indicat.*

Melãchthó Bonnæ.

Matthæus Irenæus. *De Matthæo, cui Eparchi epistolam Philippus dederat, hæc scienda sunt. Anno 1538. Vuitebergam profectus fuit Ioach. Camerarius: potißimè ut Melanchthonem, cum quo summam habebat amicitiam, conueniret. Inde reuertens ad meos (inquit in uita Philippi) habui comitem Philippo Melanchthoni charißimum iuuenem, Matthæum Friderichum: gente Francum, patria Vurceburgensem: quem, Irenæum nos appellabamus. Idem postea Tubingam & Lipsiam ad nos uenit. Ingenio & studio acerrimus erat. Ruina perijt 1551. Spiræ (quò exercendi artificij sui causa se contulerat) fenestrâ, ad quam accurrerat (ut in ueteri ædificio) cum ipso decidente. Hoc loco* Ματθαῖος εἰρηναῖος φραγκός *appellatur.*

Camerarij διδασκαλίαι. *Ioach. Camerarius 1526. Noribergæ in Schola Sebaldina (tunc recens instituta) docere cœpit 1535. Tybingæ factus Professor fuit. 1541. Lipsiam migrauit.*

## *III. DIONYSII, PATRIARCHAE CONSTANtinopolit. intercesßio pro Stephano, Cæsariensi sene.*

ΔΙΟΝΥΣΙΟΣ, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος κωνσταντινουπόλεως, νέας ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης.

Salutatio.

Steph. Cesariensis Cappadox, uir erat diues. Sed afflictus est atrociter à Turcis Calumniâ Mahometę conuitijs proscissi inferentibus.

Noluit abnegare fidẽ. Ideo durisſimè in carcere uexatur.

† Τοῖς ἁπανταχοῦ εὑρισκομένοις φιλοθέοις καὶ φιλοικτίρμοσι χριστιανοῖς, ὅσοι τοῦ καταλόγου, καὶ ὅσοι τῆς κοσμικῆς πολιτείας καὶ τάξεως, υἱοὶ κατὰ πνεῦμα ἀγαπητοὶ τῆς ἡμῶν μετριότητος· χάρις, ἔλεος, εἰρήνη, εὐχόμεθα, ἔσται ὑμῖν ἀπὸ θεοῦ παντοκράτορος, καὶ κυρίου ἰησοῦ χριστοῦ. Γνωστὸν ἔστω ὑμῖν πᾶσιν, ὅτι ὁ παρὼν χριστιανὸς, ὀνόματι στέφανος, ὃς γεννηθεὶς ἐν καισαρείᾳ, εὐημέρησε πάνυ ἐκ τῶν πατρικῶν αὐτοῦ κτημάτων, ἔν τε ποιμνίοις καὶ ἄλλοις κτήμασι, καὶ παισὶ καὶ δούλοις, καὶ φθονηθεὶς ὑπὸ τῶν ἀθέων ἀγαρηνῶν, δεινὰ πέπονθε παρ' αὐτῶν κακά, ὥστε καταδικάσαι ἐμβαλεῖν αὐτὸν εἰς τὸ πῦρ, καὶ κατακαῦσαι. αἰτίαν γὰρ ἄδικον εὗρον κατ' αὐτοῦ, λέγοντες, ὅτι ἐν μιᾷ τῶν πανηγυρέων ἐβλασφήμησε τὴν πίστιν αὐτῶν, καὶ τὸν μωάμεθ. καὶ τοῦτο, ἵν' εὕρωσιν αἰτίαν ἀφανίσαι αὐτὸν ἀδίκως, ἢ ποιῆσαι αὐτὸν τοῦρκον. ὁ δὲ μὴ πεισθεὶς γενέσθαι, πολλὰς τιμωρίας ἐδέξατο. καὶ πρῶτον ἐβλήθη ἐν τῇ φυλακῇ, καὶ διέμεινεν ἐνιαυτὸν ἕνα, καθ' ἑκάστην ἡμέραν βασανιζόμενος μυρίοις εἴδεσι βασάνων, μαστιζόμενός τε καὶ στρεβλούμενος. ὕστερον δὲ τρὶς τῷ πυρὶ παρεδόθη. ὅτε καὶ ἡ γυνὴ αὐτοῦ, μὴ φέρουσα καθορᾶν αὐτὸν τιμωρούμενον, τέθνηκε. Τότε μετὰ ταῦτα ὁρῶντες οἱ χριστιανομάχοι ἀγαρηνοὶ, ὅτι γενναίως φέρει, ἐπειδὰν ἔλαβον πάν-

Igniter traditus. Inde uxor luctu mortua.

τα τὰ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ... ΚΩΝΣΤΑΝΤΙΝΟΣ ... Ε.Υ.Δ της Κ.Π. ΙΩΑΝΝΙΝΑ 2008

τα τὰ αὐτοῦ, εἰπὼν, ὅτι ἄξιός ἐστι συγγνώμης, προσποιούμενοι διὰ πένθος αὐτῶν, καὶ ἐπὶ προφάσει
σαν αὐτὸν ζημιῶσαι ἄσπρα ἑξήκοντα χιλιάδας, ἵνα παντάπασι γυμνώσουσιν αὐτὸν, ἐξ ὧν εἶχε
κτημάτων, καὶ μόνην τὴν τεταλαιπωρημένην ζωὴν αὐτοῦ ἐάσωσι. οὗτος δὲ ὁ ἐλεεινὸς, μὴ ἔ-
χων ποῦ τὴν κεφαλὴν κλῖναι, καὶ τοσαῦτα ἄσπρα εὑρεῖν μὴ δυνάμενος, πρὸς ὑμᾶς κατα-
φεύγει τοὺς ἐλεήμονας χριστιανοὺς, καταλιπὼν τὰ ἑαυτοῦ τέκνα ἐνέχυρα εἰς χεῖρας τῶν ἀσε-
βῶν, καὶ ἑτέρους ἐγγυητὰς, συγγενεῖς καὶ γείτονας, ἕως οὗ ἀποδώσει τὰ εἰρημένα ἄσπρα τῶν
ἀσεβῶν. πάντες οὖν ὑμεῖς τοῦτον ἀσπασίως εἰσδέξασθε, καὶ τὴν εἰς χριστὸν ἀγάπην εἰς αὐτὸν
ἐπιδείξατε, καὶ κατὰ δύναμιν καὶ προαίρεσιν ἐλεήσατε. ἕκαστος οὖν ὑμῶν τῶν πορευομέ-
νων, ἐξ ὧν ὁ πλουσιόδωρος θεὸς ὑμῖν ἐδωρήσατο, εὐλαβούμενοι τὰς ἀνωμάλους τῆς τύχης
μεταβολὰς, καὶ ὁρῶντες ὅτι παρὰ προσδοκίαν καὶ ἀνελπίστως πτωχεύουσιν ἄνθρωποι, ἐπεὶ
τὸ μέλλον ἀόρατον, κατὰ μικρὸν ἐλεήσατε, καὶ ἕνα σμικρότατον ὀβολὸν διδόντες αὐτῷ τῷ πτω-
χῷ, τῷ ὑπὲρ τῆς πίστεως πολλὰ ὑπομείναντι χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ ἡμῶν, καὶ τρεῖς εἰς τὸ πῦρ
ἐμβληθέντι, ἀγοράσουσιν οὐρανὸν. Οἵ τε ἱεροὶ καὶ πνευματικώτατοι ἄνδρες, ὡς μαθηταὶ καὶ
φίλοι τοῦ πολυσπλάγχνου χριστοῦ τοῦ θεοῦ ἡμῶν, πάντα τὸν τοῦ κυρίου χριστώνυμον λαὸν εἰς ἐ-
λεημοσύνην διεγείρατε, καὶ κατ' ἰδίαν δύναμιν καὶ ὑμεῖς ἐλεήσατε. ἐφ' ὅσον γὰρ ἐποιήσατε
τὸν ἀδελφόν μου τὸν ἐλάχιστον, ἐμοὶ ἐποιήσατε, εἴρηκε τὸ λόγιον. ἵνα διὰ τῆς συνδρομῆς καὶ ἐ-
λεημοσύνης ὑμῶν οὗτος ὁ ἐλεεινὸς τοῦ περιπεσόντος αὐτῷ χρέους λυτρωθήσεται, ὑμεῖς δὲ
τὸν μισθὸν ἀπολάβοιτε παρὰ τοῦ ἐλεήμονος χριστοῦ τοῦ θεοῦ ἡμῶν βασιλείαν τῶν οὐρανῶν, καὶ
ζωὴν τὴν αἰώνιον. οὗ ἡ πλουσία χάρις, καὶ τὸ ἄπειρον ἔλεος, καὶ ἡ εὐλογία, καὶ ἡ
συγχώρησις, εἴη μετὰ πάντων καὶ πασῶν ἡμῶν, τῶν
φιλοθέων καὶ ὀρθοδόξων χρι-
στιανῶν.

Ἄσπρον ἤτοι λευκὸν, νόμισμά ἐστι τουρκικόν. αἱ ἑξήκοντα χιλιάδες ἄσπρα, ποιοῦσι χρυσίνους χιλίους, ἤτοι σκούδους ἢ δουκάτους χιλίους.

Christus enim remunerabit.

Tandem dimittentes; eum aduersarij, Asprorum 60. millia exigunt; Núc pignoribus apud eos uiuis depositis, cõfugit ad piorum misericordiã. Ergo ꝑ charitate Christiana ei subuenite.

Singuli aliquo munusculo.

Vos sacerdotes populũ ad miserendũ excitate: & ipsi quoq; aliquid date.

Μηνὶ Μαΐῳ Ἰνδικτιῶνος ιβ.

† DIONYSIVS, misericordia Dei ArchiEpiscopus Constantinopoleos, nouæ Romæ, & Oecumenicus Patriarcha.

*Iis, qui ubiq; inueniuntur, amantibus Deum, & studiosis misericordiæ Christianis: tam ijs, qui in Catalogo & ordine sunt: quàm, qui in hoc mundo ciuilem locum tenent: filij in Spiritu dilecti nostræ mediocritatis, gratia, misericordia, pax, benedictio, oramus, vt sit vobis à Deo omnipotente, et Domino Iesu Christo. Notum sit vobis omnibus, quòd præsens Christianus, nomine Stephanus: qui natus Cæsarea, valde fortunatus fuit à paternis suis bonis, & liberis, & seruis: & inuidia correptus impiorum Agarenorum, atrocia ab ipsis perpessus est mala: adeò, vt condemnarint eum, vt in ignem iniectus combureretur. Crimen enim iniustum inuenerunt contra eum, dicentes: quòd in quodam solenni conuentu contumeliosè maledixisset religioni ipsorum, & Maometh: idque, vt causam reperirent è medio eum tollendi iniustè, aut faciendi eum Turcum. Ipse verò vt fieret, cum non persuaderetur, multa supplicia pertulit. Ac primum coniectus est in carcerem, ubiq; mansit annũ vnum, singulis diebus sustinens tormenta mille generum, cùm loris cæderetur, & torqueretur. Postea verò ter igni traditus est: quando & vxor ipsius, cùm supplicia ipsius cernere non posset, mortua fuit. Tum deinde videntes illi hostes Christi Agareni, quòd ista fortiter ferret: vbi omnia ipsius abstulerunt, dixerunt, esse eum dignum venia, simulantes hoc quodam suo more: & prætenderunt, se ei mulctam imponere Aspra sexagies mille: vt ab omnibus possessionibus, quas habuerat, nudato, ei nihil præter animam afflictam relinquerent. Iste igitur miserandus, non habens vbi caput inclinaret, & tam multa Aspra inuenire cùm non posset, ad vos confugit misericordes Christianos: relictis pignori filijs suis, in manibus impiorum & alijs sponsoribus cognatis & vicinis, donec persoluat dicta Aspra illis impijs. Vniuersi igitur vos istum amanter accipite, & charitatem in Christo erga eum declarate, & ex animo miseramini illum. Vnusquisq; ergo vestrum ex ijs, quæ abundant, quæ diues in largiendo Deus vobis largitus est, verentes instabiles fortunæ mutationes, quòd præter expectationem & spem mendici fiant homines (nam futura incerta sunt) modica tangimini ipsius misericordia. Etiam vnum pusillum obolum dantes ei, qui pro fide multa perpessus est Christi veri Dei nostri, & ter in ignem coniectus, hoc precio cælum cõparabunt. Vosq; sacerdotes, & maximè spirituales, vt discipuli & amici multum misericordis Christi Dei nostri, vniuersum Domini Christiani nominis populum ad eleemosynã excitare. Et pro vestra parte ipsi etiam afficimini misericordia. Quantum enim fecistis fratri meo minimo, mihi fecistis, inquit oraculum. Vt de concursu, & eleemosyna uestra, iste miserandus debito oblato liberetur. Vos autem mercedem percipiatis à misericorde Christo nostro, regnum cælorum, & vitam æternam. Cuius diues gratia, & immensa misericordia, & benedictio, & indulgentia, sit cum omnibus vtriusq; sexus vobis Christianis, amantibus Deum, & orthodoxis.*

*MENSE IVNIO, Indictione 12.*

AN-

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2008

## ANNOTATIO.

### De hoc Cappadoce sene, Camerarii locus ex vita Philippi.

*Annis duobus antecedentibus mortem Philippi Melanchthonis, hospitem binc ad ipsum misimus, senem Cappadocem Cæsariensem: qui habebat literas Patriarchæ Constantinopolis, Græcè scriptas: quibus itineris ipsius causa indicabatur: & commendabatur nomini Christiano. Pro filijs hic suis numerare certam summā pecuniæ debebat: qui interea in potestate Turcorum haberentur. Non deprehendebatur fraus ulla. Eò magis animi omnium, misericordiā ipsius commouebantur: & renouabatur memoria Philippo Melanchthoni, Basilij Episcopi: quem, ciuem huius solebat appellare.* Steph. Cæsariensis 1558.

### Melanchthonis locus ex Epistola ad Camerar. 1558. mense Martio scripta.

*Senem, Basilij Cæsariensis ciuem, dimisimus, dato uiatico. Ac dissuasi iter Saxonicum: quia Milites ibi uagātur: qui aduersus Elluones (inde enim nomen Liuoniæ esse arbitror) collecti sunt. Scripsi nomina urbium à Salinis ad Ratisbonam usq;. Deinde regredi eos ad Rhenum iussi, usq; ad Geneuam. Hæc, ille.* Elluones.

*Patriarcha huic seni commendatitias, mense Iunio Indict. 12. dederat: id est, anno 1554. Christi. Ipse autem 1558. Vuitebergæ fuit. Ergo quadriennium ferè iam oberrauerat.*

*Facta semel mentione* τοῦ καππαδόκου τούτου γέροντος*: ponam* διὰ τὸ σύνεγγυς*, ex Antonio Geufroeo, Rectores prouinciarum Asiæ & Europæ Turcicos: qui, Beglerbeij dicuntur, id est, Domini Dominorum.*

Imperij Turcici administratio.

*Asiæ Beglerbeij sex sunt.*

- *1. Anatoliæ. Huic subest* — Pontus. Bithynia. Lydia. Phrygia. Mæonia. Caria. — *Ei parent 12. Sangiaci, id est; equestrium copiarum Duces.*
- *2. Caramaniæ, olim Ciliciæ. Cui etiam paret* — Lycia. Lycaonia. Pamphylia. — *Habet sub se 7. Sangiacos.*
- *3. Amasiæ, cui paret Toccat, id est* — Cappadocia. Galatia. Paphlagonia.
- *4. Anandulæ, seu Aladulæ (sunt montes Armeniæ, nempe mons Taurus, nunc Cocarum) Ei subsunt 7. Sangiaci.*
- *5. Mesopotamiæ: cuius caput, Edessa, in S. literis Ragez. Habet sub se 12. Sangiacos.*
- *6. Cairi, & Aegypti: tenens etiam Mecham, cadauere Mahometi pseudoprophetæ nobilem: Arabiam desertam, & partem fœlicis Arabiæ. Sangiaci sub eo, 16.*

*Europæ unus Beglerbeius est, cæterorum omnium maximus: quippe sub se omnes regiones, quas Turcicus Rex in Europa tenet, habens: Ei 30. Sangiaci subsunt.*



Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2008

## IIII. IACOBI BASILICI, DESPOTAE Sami, ad Philip. Melanchthonem Epistola.

Ἰάκωβος βασιλικὸς μαρκέτιος, δεσπότης σάμου, ἱππεὺς τοῦ ἀηττήτου καίσαρος, καὶ κόμης παλατῖνος· τῷ σοφωτάτῳ καὶ εὐσεβεστάτῳ ἀνδρί, κυρίῳ φιλίππῳ τῷ μελάγχθονι, εὖ πράττειν.

Dolui iam diu, nihil à te literarũ uenire. Sed lætor, te uiuum & incolumé esse. Hanc Epistolam mitto per phingicũ id est, pfinzingũ. Scribit etiã ad te cognatus meus, ὁ κύριος τῆς δωρίδος. Saluere iubeo Casparum peucerum. Rescribe. Data 23. Nouemb. 1555.

Πολὺς ἤδη παρήχθη χρόνος, εὐσεβέστατε φίλιππε, καὶ οὐδὲν τι μικρὸν ἐπιστόλιον παρὰ σοῦ ἑώρακα, καὶ ταῦτα δὶς καὶ τρὶς γράψας τῇ σῇ λογιότητι, ἐξ οὗ ἀπεδήμησα τῆς μανσφελδίας. ὅπερ μοι οὐ μικρὰν παρέσχε τὴν ἀνίαν, καθ' ἑκάστην ὥραν διανοουμένῳ· μή τι τῶν ἀνθρωπίνων μελάγχθων, ὁ ἐμὸς εὐεργέτης καὶ βοηθὸς, πέπονθεν. ὡς δέ σε ὑγιῆ καὶ ζῶντα τῷ θεῷ ἤκουσα· χάριτας τῷ σωτῆρι ἡμῶν ὡμολόγησα, τῷ καὶ νῦν σε ζῶντα φυλάττοντι, καὶ με δεύτερον σε ἑωρακέναι καταξιωσαμένῳ. τὰ παρόντα γράμματα διὰ τοῦ λογιωτάτου, καὶ περιφανοῦς συμβούλου τοῦ ἀηττήτου Καίσαρος, φιγγικοῦ, πέμπω, ἵνα μὴ καὶ αὐτὰ, ὡς τἆλλα, ἀποβληθῶσι· καὶ ταῦτα τοῦ ἐμοῦ αὐτανεψίου, μεγαλοπρεπεστάτου κυρίου τῆς δωρίδος, σοι γράφοντος, νῦν ἐκ τῆς ἑλλάδος εἰς τὴν καίσαρα ἐλθόντος, καὶ τὰς ἀνεικάστους σου ἀρετὰς καὶ καλοκαγαθίας, παρ' ἐμοῦ διηγουμένου ὁσημέραι ἀκούσαντος. δέομαί σου, προσαγορεῦσαι ὡς ἀπ' ἐμοῦ, τὸν σοφώτατον ἐν ἀσκληπιάδαις, κύριον γάσπαρον πευκῖρον. ἔρρωσο, καὶ τῷ καθαρᾷ καρδίᾳ, τῷ τῆς νῦν ἀοικήτου καὶ δυστυχοῦς σάμου δεσπότῃ, ποτὲ δὲ εὐτυχοῦς καὶ ἐνοίκου οὔσης, φιλοῦντί σε, ἀντίγραψον. ἀνθεστηριῶνος ὀγδόῃ φθίνοντος τοῦ αφνε΄. ἀπὸ βρουξέλλων.

Ὁ σὸς βασιλικός.

## V. IACOBI DIASSORINI, DOMINI DORIdis, ad Phil. Melanchth. Epist.

Τῷ σοφωτάτῳ καὶ λογιωτάτῳ ἀνδρὶ, κυρίῳ φιλίππῳ τῷ μελάγχθονι, Ἰάκωβος Διασωρῖνος, κύριος Δωρίδος, εὖ πράττειν.

Percepi de laudibus tuis. Ideo has ad te scribo: Recipe me inter hospites tuos. Vt fiam beatus. Rescribe, quæso, breue quid. Etiam phingico id est, Pfinzingo. Cupio enĩ tibi aliquid rarioris libelli Græci mittere.

Τὸ εὐσεβὲς, ἢ μᾶλλον εἴπω, θεοσεβὲς, καὶ φιλόσοφον τῆς σῆς λογιότητος, θαυμασιώτατε φίλιππε, ἐκ τῶν ὑμετέρων συγγραμμάτων διανοούμενος· καὶ τὰς ἐμφύτους σου ἀρετὰς παρὰ πολλῶν ἀκούσας, καὶ νῦν παρὰ τοῦ ἐπιφανοῦς δεσπότου τῆς σάμου, ἐμοῦ δὲ αὐτανεψίου, ταῦτα ἐς τὰ μάλιστά μοι ἐν βρουξέλλαις βεβαιωσαμένου· τὸ παρὸν γράψαι σοι ἐπιστόλιον τετόλμηκα. δὲ οὖν τῆς σῆς δεηθήσομαι καλοκαγαθίας, συγγνώμην παρασχεῖν μοι, τοιαῦτα τολμήσαντι, καὶ τῶν σῶν ξένων συγκαταριθμῆσαι με σπουδαίων. χαίρω γὰρ τοῖς τοιούτοις σοφωτάτοις ἀνδράσι φιλιωθῆναι, καὶ ὑπηρετεῖν αὐτοῖς, ἡνίκα τούτου δέῃ, ἵνα καὶ αὐτὸς μακαριότητος τύχοιμι· ἐπεὶ καὶ μακάριος, ὅστις μακαρίοις ὑπηρετεῖ. τοῦτο τοίνυν τὸ μικρὸν καὶ ἀτημέλητον ἐπιστόλιον, ἡ σὴ δεξαμένη φιλοσοφία, ἀσμένως με τῇ ἑαυτῆς φιλανθρωπίᾳ φιλιώσεται· καὶ μικρόν τι γραμμάτιον ἐπιστελεῖται, ὡς τὰ περὶ αὐτῆς μάθοιμι· καὶ τῷ περιφανεστάτῳ συμβούλῳ τοῦ ἀηττήτου Καίσαρος, φιλέλληνι γερμανῷ φιγγίκῳ, γράψοι· ἢ τινι ἄλλῳ φίλῳ τῶν ἐνταῦθα, ἐπιθεῖναι σοι ἀσφαλῶς ὅπερ σοι ἐπιστελοῦμαι. μικρόν τι γάρ, ὡς ξένιον, ἐκ τῆς πάλαι εὐτυχοῦς καὶ μακαρίας ἑλλάδος, νῦν δὲ ἀθλίας, βιβλίον τῶν δυσευρέτων, πέμψαι σοι βούλομαι· ἵν' αὐτόπτης διερχόμενος, τοῦ τῆς δωρίδος κυρίου μνησθείης, ἕλληνος ἀνδρὸς, καὶ φίλου εὐσεβέσιν. ἐρρωμένος διατελοίης, ἀνδρῶν ἁπάντων ἐνδοξότατε, καὶ ἄπειρος παντὸς ἀνιαροῦ. Τοῦ αφνε΄, ἀνθεστηριῶνος ὀγδόῃ φθίνοντος, ἀπὸ βρουξέλλων.

Vale. Data 23. Nouemb. 1555.

## ANNOTATIO.

Philip. Melanchthon in Epistola ad Ioach. Camerarium 7. idus Febru. 1556.

*Græcas epistolas tibi mitto: quibus scio te melius posse respondere: etsi meum sermonem magis refert illorum oratio, quam tuam elegantiam.*



Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2008

## VI. RESPONSVM IOACH. CAMERARII AD IACOborum Basilici & Diassorini epistolas.

Ἀνδράσιν ἀρίστοις, καὶ κυρίοις ἐνδοξοτάτοις, Ἰακώβῳ Διασσωρίνῳ, κυρίῳ Δωρί-
δος, καὶ Ἰακώβῳ Βασιλικῷ, δεσπό-
τῃ Σάμου.

χαίρειν. Ἐπιστολάς τινας κομισθείσας δεῦρο πρὸς ἡμᾶς, ὧν ἐπιγραφὴ ἐδήλου, ὅτι ὀφείλοιεν ἐγχειρισθῆναι Φιλίππῳ τῷ Μελάγχθονι, εὐθὺς διεπεμψάμην, διαπορήσας γραμματοφόρου πάνυ ἐπιτηδείου. ὁ δέ, ὥσπερ εἰκός, ἡσθεὶς τοῖς γεγραμμένοις, καὶ ἐμὲ οὐκ ἀγνοῶν σπουδαίως ἐν τοῖς ὅτι μάλιστα πρὸς τὴν ἑλληνικὴν παιδείαν διακείμενον, κοινὸν μὲν ἐποιήσατο τὸ κέρδος, ὡς φίλος (ὧν ἴσμεν κατὰ τὴν παλαιὰν παροιμίαν κοινὰ εἶναι πάντα) καὶ τὰς ἐπιστολὰς ἀντεπέπεμψεν. ἐσήμηνε δ' ἅμα (παρεκαλεσάμην γὰρ αὐτὸν ἐπὶ τὸ ἀντεπιστεῖλαί τι ὑμῖν) ὅτι ἐν τῷ παρόντι ἀναγκαῖον ἔχων πρὸς τὸν ἡγεμόνα τῆς χώρας ἐκδημῆσαι, ἀποκρίνεσθαι αὐτὸς μὲν οὐ δύναιτο, βούλοιτο δὲ ὑπ' ἐμοῦ τοῦτο γενέσθαι ἐν τῷ νῦν: ἵνα γνωρισθῇ, ὅτι τά τε γράμματα ἐδέξατο, καὶ τὸ ἐπαγγελθὲν βιβλίον ἀσμενέστατα ἂν ἐπιδοίη. ἐγὼ δὲ τὰς ἐπιστολὰς ἀναγνούς, τότε τῆς λέξεως καθαρὸν ἐθαύμασα, καὶ ἠγάπησα τὸ φιλοφρονητικὸν τῆς διανοίας. καὶ ἐπιτρέψαντος μὲν τοῦ Φιλίππου, πρὸς τὸ γράψαι προθυμότατα ἔσπευσα. οὕτω δὲ γνώμης εἶχον, ὥστε καὶ αὐτομάτῳ ὁρμῇ φέρεσθαι πρὸς τοὔργον. ὑμεῖς δή, ἄνδρες ἄριστοι καὶ ἐνδοξότατοι, τὰ ἡμέτερα, ἤτοι ὑπουργοῦντα τῷ Μελάγχθονι, ἢ καὶ ὑπηρετοῦντα τῇ ἰδίᾳ τόλμῃ, δέξασθέ τ' εὐμενῶς, καὶ ἐπιγνοίητε ἐμέ, ὡς ἀπὸ πρώτης ἡλικίας ἱμείροντα, καὶ πόθῳ (φήσειεν ἂν ἀνὴρ ποιητικὸς) οἰστροβολούμενον τῆς ὑμεδαπῆς μούσης, καὶ λόγων καλῶν. εἰ δέ τι καὶ ὄφελος τῶν πόνων, καὶ οὐκ ἀνηλώθη μάταιος ἡ σπουδή, ἄλλοις μὲν ἀποφήνασθαι τοὐντεῦθεν ἂν προσήκει: ἐμοὶ δὲ εὐχαὶ μόναι λείπονται, τοῦ μὴ δοκεῖν κατὰ τοὐπιτήδευμα ἔσχατος, ὥσπερ Μυσῶν τις, τὸ τῆς παροιμίας. ἐπεὶ δὲ ἀφορμῆς δεδεγμένος ἦν, μετὰ τῶν τοιούτων ἀνδρῶν τοῦ ἑλληνικοῦ γένους διὰ γραμμάτων ὁμιλῆσαι: τοῦ μὲν καιροῦ ἀμελητέον εἶναι οὐκ ᾠήθην: πρέποι δ' ἄν, οἶμαι, τῇ ὑμετέρᾳ εὐγνωμοσύνῃ καὶ πρᾳότητι, τήνδε τὴν ἡμετέραν ἀδολεσχίαν εὖ θέσθαι; καὶ οὐκ ἄχθεσθαι τῇ λεσχηνείᾳ. ἦν δ' ἄρα ἐμοὶ παρὰ τὴν ἀνάγνωσιν τῶν ὑμετέρων ἐπιστολῶν πρόχειρον τῇ μνήμῃ, τὸ πρὸν τῶν Ἀθηνῶν γενηθὲν ποτιάσκος βασιζῃ, δῦναί γε μὲν οὐ θέμις ἐστίν. ἐγὼ γὰρ ἐνδέχομαι τοῦτο, ὡς περὶ ἅπαντος τοῦ ἔθνους προσενεχθέν. ἀλλ' αἱ μεγαλοπόλιες κατὰ τὸν Πίνδαρον Ἀθῆναι, οὐδὲ πόλις ἐστί: καὶ τὸ σεμνὸν καὶ ἐπιφανὲς τοῦ ἔθνους ᾤχετο πᾶν, ὀνείρου δίκην ἀποπτάμενον. εἰσὶ μὲν οὖν περίοδοί τινες ὡρισμέναι γενέσεων καὶ φθορῶν: καὶ ἡ τῶν μοιρῶν ἀνάγκη, ἄτροπος. καὶ πάντως ἔμαρψέ τι, καὶ μάρψει ἐξείης; αἰεί τινας ἄτη, ἐπερχομένη ἄλλοισι πρὸ ἄλλων. τὸ δὲ δὴ τῶν Ἀθηνῶν, καὶ τοῦ ὑμετέρου γένους, λαμπρότατον καὶ σεμνότατον καὶ εὐκλεέστατον, μένει τε καὶ μενεῖ, ὄφρ' ἂν ὕδωρ τε ῥέῃ, καὶ δένδρεα μακρὰ πεφύκῃ: ὥσπερ φησὶ τὸ τοῦ πάλαι Μίδου ἐπιτάφιον. τίς γὰρ τῶν νοῦν κεκτημένων, καὶ φρένας ἐσθλάς, κατὰ τὸν Ὅμηρον; οὐ μείζω καὶ τιμιωτέραν ἡγήσαιτο ἂν τῶν λόγων, ἢ τῆς ἀρχῆς, δύναμιν; ἤνθησε δή ποτε πλούτῳ καὶ ἀρετῇ, καὶ νίκαις περιβοήτοις εὐδοκίμησεν ἡ Ἑλλάς: ἀλλὰ ταύτην, οἱονεὶ χλιδήν, νῦν μὲν ἀφῃρέθη: ἄλλο δὲ φῦλον αὐτὴν περιετέθη, καὶ τοῦτό ποτε στερησόμενον. οὗτος γάρ, τῶν ἀνθρωπίνων συμφορῶν ὁ κύκλος. τὸ δὲ τῶν λόγων κλέος, καὶ ἡ δι' αὐτῶν εὐεργεσία, παρέτεινε καὶ μέχρι τοῦδε τοῦ χρόνου, καὶ ἐπὶ τοὺς οὕτω μακρὰν ἀπόντας: ἡμᾶς φημι τοὺς ὑπερβορέους πως νομιζομένους, ἀνθρώπους περὶ τοῦ πάσης ἐλλογίμου μαθήσεως ἀνηκόους. τοῦτο τοίνυν τἀγαθόν, καὶ νῦν ἐπέχομεν παρὰ τῆς ὑμετέρας πατρίδος: ὥστε τῆς ἀληθείας τ' ἐπαΐειν, καὶ οὐκ εἶναι ἀθεωρήτους ἡμᾶς ἐπιστήμης θείων τε ἀνθρωπίνων τε πραγμάτων: ὅτε τῆς εὐσεβείας γνῶσις, ἀκέραιος καὶ γνησία, τε τῆς φιλοσοφίας βιωφελές, καὶ πάγχρηστον, αὐτῆς ἐκείνης δῶρον τυγχάνει, διανεμόμενον ἡμῖν: ὁσημέραι εὐεργετουμένοις ἐπὶ τοσοῦτο, ὥστε τὸ μέγεθος τῶν ἀγαθῶν μόλις ἀπολαύειν χωρεῖν τῇ ὀφειλομένῃ εὐχαριστίᾳ. οὐ γὰρ ἂν ἀξίως, οὔτε λέγοιτο, οὔτε πράττοιτό τι, ἀντὶ τοσαύτης καὶ τηλικαύτης ὠφελείας, ἧς παρ' ὑμετέρων προγόνων λαβόντες ἀπολαύομεν. περὶ ὧν πλεῖστα ὅσα εἰπεῖν ἔχων, παύσομαι ἐνταυθοῖ: μὴ θωπεία δόξειέ πως ἡ ἀναγόρευσις. κἀγὼ μὲν τῇ ὥσπερ ἀναθεωρήσει, καὶ ὑπομνήσει τούτων, θαυμαστέον ὡς ἐτέρφθην: ὑμῶν δὲ δέομαι, τά τε ῥηθέντα ἐκλαβεῖν ἐπὶ τὸ κρεῖττον: καὶ ἐμοί, ὡς ἑνὶ τῶν ὑμετέρων, διὰ τὸ φιλόσπουδον τῆς ὑμετέρας γλώσσης καὶ παιδείας, εὐνοίας τι ἀφ' ὑμῶν χαρί-

Transmisi uestras ad Melanchthonem.
Ipse ad me eas remisit, ut rerū Græcarum studiosum.
Mihi, occupatus ipse, munus respondendi dedit.
Expectat promissum libellum.
Placuerunt mihi literæ uestræ.
Ideo libenter rescribo
Vos beneuolè accipite.
Nūquid in Græco studio effecerim, aliorū esto iudiciū
Nolui occasionē negligere cum Græcis sermocinādi.
Vos benignè accipite.
De Græcia succurrit mihi.
Sāctè mado bis vter, sed non fas mergier vnquam.
Græcia quidem fatali quadā periodo cecidit.
Nomen tamen eius, clarissimū semper manebit.
Præstat. n. eruditio & sapiētia, imperij dignitati.
Hæc enim

præterit. Illa verò manet: quæ ad nos Germanos etiā à vobis peruenit.
Nūc itaq; & philosophia & pietas in his locis viget:
Suprà, quā vt cōdignè possint gratiæ agi.
Sed de his plura dicere desino: licet mihi recordatio eorū, per sit iucunda.



Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2008

Libellus uester, si uenerit, utrique nostrum iucundus erit Pfinzingo paulo ignotus nō sum, nec despectui, ut spero. Is uestra bene ad nos perferenda curabit. Mitto uobis aliquid Catecheticum. Vtinā legere per otium possitis: Valete, & rudius scriptum boni consulite:

σωθῆναι. τὸ δὲ βιβλίον, τὸ ἐξ ὁμολογίας ἤδη ὀφειλόμενον τῷ Μελάγχθονι, ἐὰν πρὸς ἐμὲ πεμφθῇ ἐμοῦ τὸ λοιπὸν διακονοῦντος, λήψεταί τι ἐκεῖνος· καὶ ἑκάτερος χάριν ἕξει· καὶ, ἣν οἷός τε γένηται, καὶ ἀποτίσει. ὁ δὲ Φίκιγγος (τὸν Παῦλον λέγω, τὸν ἐν τῷ τοῦ μεγάλου καίσαρος ὀνομαζομένῳ συμβουλευτικῷ, μετὰ τῶν πρώτων ἀριθμούμενον) ὡς καὶ ἐμὲ πάλαι γνώριμον ἔσχε, καὶ ὡς πέπεισμαι, οὐκ ἀλλότριον οὐδὲ καταφρόνητον ἡγεῖται. μᾶλλον δὲ καὶ στέργων ἡμᾶς οὐ παύεται· καὶ διατελεῖ γεραίρων, οἷς αὖ εὖ καὶ καλῶς ἔχειν ἐπίσταται. οὗτος τοίνυν ὁ Φίκιγγος, καὶ διωνήσεται ἀσφαλῶς, καὶ βουλήσεται (εὖ οἶδ᾽, ὅτι) προφρόνως, ὅπερ αὖ ἀφ᾽ ὑμῶν λήψεται, οἱονεὶ διαπορθμεῦσαι πρὸς ἡμᾶς. ἔπεμψα δ᾽ ὑμῖν ἐκδεδομένην τινὰ πραγματείαν τῶν κατηχητικῶν παρ᾽ ἡμῖν· καὶ ἐθέλοιμί γε σχολῆς τοσαύτης ὑμᾶς τυχεῖν, ὥστε διελθεῖν ἀμερίμνως· καὶ οὕτως ἔχειν εὐνοίας πρὸς ἐμέ, ὡς οὐ μόνον, εἴ πως ἀρέσκοι τούτων, ἐμφανίσαι· ἀλλὰ καὶ τὰ ὀβελισμοῦ χρήζοντα, σημειωθέντα ἐνδείξασθαι. ἔρρωσθε, ἄνδρες ἄριστοι καὶ ἐνδοξότατοι· τό, τε τῆς φράσεως ἰδιωτικὸν, καὶ τῆς ἐπιστολῆς ὥσπερ ἀνεπίξεστον, πρᾴως τι καὶ συγγνωμικῶς φέρετε. ἐκ τῆς Λειψίας, μεσοῦντος χειμῶνος, τῷ τῆς σωτηρίου χειρογονίας ἔτει αφνϛ᾽.

Ἰωάχειμος Καμεράριος.

## *ANNOTATIO.*

### Phil. Melanchthon XX. Febr. 1556. ad Ioach. Camerarium.

*De Græca epistola, quam scripsisti mittendam in Belgicum, eò etiam tibi gratiam habeo: quia prodest, illos uidere exempla ueteris Græcæ Phrasis, scripta in his ultimis oris. Scripsi & ego: sed, ut ille Persa; ἀλγῶ μὲν καὶ χαίρομαι. Mittes, si ita uidebitur. Sic, Philippus.* Iacobus Basilicus.

*Arbitror ego, hunc Iacobum Basilicum, esse Aulam Caroli V. ideo secutum: ut ope eius in priorem dignitatem restitueretur: cuius generis sunt hæc, quæ sequuntur.*

### Ex epistola Philippi ad Camerar. 1555. die τοῦ μαργαρειδίου (13. Iulij) scripta.

*Sabinus mittitur Legatus ad Regem Polonicum, ὑπὲρ τοῦ φυγαδευθέντος ἀπογόνου τοῦ ἀχιλλέως, ὡς λέγεται: etsi nihil affirmo.*

### Et ex Abrahamo Bacschayo Scemnicensi, 1559.

*Albertus à Lasko, &c. Iacobum Heraclidem Basilicum Despotam, in Moldauiam introducit, &c. atque Regnum ingrato Despotæ subactum reddit. Mense Nouembri.*

### Ex eodem, 1563.

*Despota à suis Vualachis astu circumuentus, 5. Nouemb. occiditur.*

### Et ex Ioan. Lasicio, 1572. anno Turcis cæsis.

*Valachorum ea est leuitas animi, & perfidia: ut maior esse nequeat. Ii paucis antè annis, Alexandro Principe suo eiecto, quendam Iacobum Despoten, qui Rostochij mathemata docebat, nostris quibusdam (Laskio Lassokio, & Philippouio) suo cum dispendio eum adiuuantibus, receperūt. Quo occiso: rursus Alexandrum, postea Bogdianum (filium eius) admiserunt. Hoc fastidito: Iuoniæ (Ioanni) se subiecerunt. Isto Turcis prodito ad Petrum defecerunt. Quem quis diutius his regnaturum credat? Hæc, ille.* Βλαχικὴ ἀπιστία.

*Anno autem 1564. & 1571. nobiscum Tybingæ erat doctissimus uir, Zacharias Orthus Pomeranus: quem D. Iacobus, Sami Despota, Poetam coronauerat. Ex hoc Ortho, mei (licet οὐκ συνεργετήσαντος αὐτὸν) amantissimo, multa de illo Despota cognoscere potuissem. Sed tunc omnia hodiernæ Græciæ, ab oculis meis, imò cogitatione, remota erant: donec 1573. professionem Constantinopolin Gerlachio hinc parante, θεῖός μοι ἐνύπνιον ἱερὸς ἦλθεν, ὁ κύριος ἐπαινείσθω. Conabatur quidem generosus senex, D. Ioannes Vngnadius, ut erat uerè pius Heros, Græcè conuersos (si tunc reperisset) libros nostræ Religionis (præsertim Catechismum Lutheri) cum Sclauonicis libris in Græciam mittere: ideoq; hac de re mecum in prandio, Calēdis Iulij 1564. sermones clementer conferebat: sed tunc nondum tempus aduenerat. μετὰ δὲ τοῦ πληρώματος τοῦ καιροῦ, ὁ θεὸς τὰ ἑαυτοῦ ποιεῖ.* Zachar. Orthus. Ioā. Vngnadius, ὁ ἐν τῷ τυβιγγαίῳ ναῷ ἱερεύς.

| | | | | | |
|---|---|---|---|---|---|
| *Vualachiæ, seu Mysiæ aut Daciæ, limites: ab* | *oriente, pontus Euxinus. meridie, Ister. occasu, Transyluania. Septentrione, Rußia, seu Roxolani.* | *Diuiditur* | *Vualachiam transalpinam. Moldauiam, ab amne Moldaua, mediam intersecante.* | *Vtranq; describit Leōhardus Gorecius in bello Iuoniæ.* | De Vualachia. |

*Mores, religio, sacra Vualachorum, ad Græcas Armeniacasq; ecclesias accedunt: apud quos, Sacerdotes uxores ducunt. Gens equitatu pollet: scuto, hasta, galea, sicut Vngari, utitur: nonnunquam lancea mißili, atq; arcubus. Quiuis uel egentißimus, domi equum alit: quo prædatur, ac militat:*

VII. E.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΥΠΕΥΘΥΝΟΣ: ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ. Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2008

## VII. EPISTOLA PHIL. MELANCHTHONIS AD Patriarcham Constantinopolit. Ioasaphum.

ΤΩ ΠΑΝΑΓΙΩΤΑΤΩ πατριάρχῃ τῆς ἐκκλησίας χριστοῦ, τῆς ἐν Κωνσταντινουπόλει, κυρίῳ Ἰωάσαφ σεβασμιωτάτῳ, εὖ πράττειν.

Ecclesia semper afflicta est, hûc præsertim. Ideo pij dolent, illáq; p extremũ iudicium liberari precantur. Alleuauit nos tamen Demetrij narratio, in oriente adhuc Ecclesias aliquas esse. Ideo gratias Deo agimus, etiam inter impios cõseruãti piorũ cœtum. Vidit idem Demetrius nostros etiã conuentus, & doctrinã audiuit.

Ἀεὶ μὲν ἡ ἐκκλησία θεοῦ ἐν τούτῳ τῷ βίῳ, ὥσπερ πλοῖον ἐν κύμασιν, ἐν πολλαῖς θλίψεσι χειμάζεται· νυνὶ δὲ ἐν τῷ νοσερῷ τοῦ κόσμου γήρᾳ μᾶλλον πιέζεται ἢ πάλαι. ὅπερ ὁρῶντες, πολλάκις στενάζοντες εὐχόμεθα· τὸν υἱὸν θεοῦ, κριτὴν ἁπάντων ἀνθρώπων ὅτι τάχιστα ἐλθεῖν, θεραπεύσοντα, καὶ ξύμπασαν τὴν ἐκκλησίαν προσάξοντα εἰς τὴν φανερὰν τοῦ ἀιδίου πατρὸς συνήθειαν, ὅπως ἐν πᾶσι μακαρίοις ὁ θεὸς τὰ πάντα ἔσεται. τὰς δυστυχίας οὖν τὰς κοινὰς ἀποδυρομένων ἡμῶν, ἡ τοῦ Δημητρίου διήγησις παραμύθιόν τι συνέμιξε, λέγοντος, ὅτι θαυμασίως ἔτι σώζει ὁ θεὸς ἐκκλησίαν οὐκ ὀλίγην ἐν τῇ θρᾴκῃ, καὶ ἀσίᾳ, καὶ ἑλλάδι· ὥσπερ πάλαι τρεῖς ἄνδρας ἐν φλογὶ χαλδαικῇ ἔσωσε. τοιγαροῦν εὐχαριστοῦμεν τῷ ἀληθεῖ θεῷ, τῷ πατρὶ ἰησοῦ τοῦ χριστοῦ· ὅτι κραταιᾷ χειρὶ, ἐν τοσούτῳ πλήθει ἀσεβῶν καὶ θεοστυγῶν ἐχθρῶν, σώζει ποίμνιον αὐτῷ, ὃ τὸν υἱὸν αὐτοῦ ἰησοῦν χριστὸν ὀρθῶς τιμᾷ καὶ ἐπικαλεῖται· καὶ δεόμεθα, ἀεὶ πανταχοῦ συλλέγεσθαι καὶ συγκροτεῖσθαι ἁγίας ἐκκλησίας. Εὥρακε δ' ὁ αὐτὸς δημήτριος ἡμετέρας συνάξεις, καὶ τῆς διδασκαλίας ἀκροατὴς ἐγένετο. διηγήσασθαι οὖν δυνήσεται, ὅτι εὐσεβῶς τὰς ἁγίας γραφὰς, τὰς προφητικάς τε καὶ ἀποστολικὰς, καὶ τοὺς τῶν ἁγίων συνόδων κανόνας περὶ δογμάτων, καὶ τὴν ὑμετέρων πατέρων διδασκαλίαν, τοῦ ἀθανασίου, βασιλείου, γρηγορίου, ἐπιφανίου, Θεοδωρήτου, εἰρηναίου, καὶ τῶν ὁμονοούντων τούτοις, τηροῦμεν. τὰς δὲ παλαιὰς βδελυρίας, τὰς τοῦ Σαμοσατέως, καὶ μανιχαίων, καὶ μωαμιτῶν, καὶ πάντων κατηρατων, οὓς ἀποδοκιμάζει ἡ ἁγία ἐκκλησία διαρρήδην ἀποβδελυττόμεθα· καὶ διδάσκομεν, θεοσέβειαν εἶναι, τὴν ἀληθῆ πίστιν, καὶ ὑπακοὴν τὴν κατὰ τοὺς νόμους τοῦ θεοῦ, τοὺς ἡμῖν ἐπιταχθέντας· οὐ κατὰ τὰς δεισιδαιμονίας, ἢ ἐθελοθρησκείας, ἃς οἱ ἀπαίδευτοι τῶν λατίνων μοναχοὶ εὑρήκασιν, ἔξω τῶν ἐντολῶν τοῦ θεοῦ. Δεόμεθα οὖν, μή τις δύνῃ ὑμᾶς, σοφοὺς ἄνδρας, ταῖς διαβολαῖς: ἃς πλάττουσι καθ' ἡμῶν ἐχθροί τινες τῆς ἀληθείας· ἀλλὰ κατὰ τὸν φυσικόν τε καὶ θεῖον νόμον, ὁμοίως ἀμφοῖν ἀκροᾶσθαι· καὶ τῇ ἀληθείᾳ, καὶ τῷ νόμῳ τοῦ θεοῦ, συνηγορεῖν· ὥσπερ οἴδατε, τοῦτο τὸ ἔργον λατρείαν εἶναι θεῷ μάλιστα ἀρέσκουσαν. Ἔρρωσο, σεβασμιώτατε πάτερ. Ἐν τῇ Σαξονίᾳ, ἐν ἔτει ἀπὸ τῆς ἐνσάρκου οἰκονομίας τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ αφνθ'.

Indicare igitur uobis poterit, nos ueram religionem rectè conseruare. Omnia quę olim condẽnata, hæresi reiecta. Summa ueræ Religionis, contra superstitiosos cultus. Nolite itaque illis, q nos calumniantur, fidé habere. Sed nos quoq; audi te. Vale, reuerendiss. pater.

Φίλιππος μελάγθων.

## ANNOTATIO.

*Hanc epistolam antea quoq; 1566. cum Poematibus & orationibus meis, extremo loco edideram. Sed & nunc libenter repetij: quandoquidem cum præcedentibus coniuncta, denuo ad me uenit: ac bene cum illis & alijs cohæret. ἡ τοῦ Δημητρίου) per hunc Demetrium Philippus hanc epistolam ad Patriarcham, cum exemplari Augustanæ confeßionis, portari uoluit. Eiusdem Demetrij ad Philippum Epistolam, Ratisbonæ 15. Octob. 59. scriptam, suprà in libri tertij parte secunda ad finem inuenies.*

De eodem Camerarius in vita Philippi sic scribit.

De Demetrio Diacono.

*Venit post Cappadocem senem, ad Philippum Demetrius quidam gente Mysus: qui in Græcorum Ecclesia Constantinopoli Diaconus fuerat, sermonis Græci peritus. Isq; satis diu in his regionibus commoratus est.*

Et Philippus ad Camerar. 29. Maij 1559.

*Sigismundi Geloi epistolam, post tuum iter allatam, tibi mitto: quia lectionem eius tibi minus insuauem fore cogitabam: quam aliorum Scriptorum, νυνὶ ἐπιπολαζόντων. Demetrius, qui attulit eam, triennio fuit Diaconus in Ecclesia Byzantina, ut narrat. Nec indoctus est, nec futilis. Hortabor: ut, cùm primùm fieri poterit, ad te quoq; accedat.*

De eodem uidetur & hoc Philippi, in Epistola ad Ioan. Math[e]sium 7. Augusti scripta, loqui.

Aduersus calumnias aures claudendæ.

*Hodie hinc abierunt Græci: qui habent testimonia Patriarchæ Constantinopolitani: quos existimo ad uos quoq; uenturos esse. ταῖς διαβολαῖς) Psal. 52. τί ἐγκαυχᾷ ἐν κακίᾳ, ὁ δυνατὸς ἀνομίαν ὅλην τὴν ἡμέραν, ἀδικίαν ἐλογίσατο ἡ γλῶσσά σου· ὡσεὶ ξυρὸν ἠκονημένον, ἐποίησας δόλον. Ex 4. Polyb. ferè in fine. χρὴ, μηδενὶ τῶν λεγομένων ὀξέως, μηδ' ἀκρίτως, μηδέποτε πιστεύειν· ἀλλὰ τὸν ἀκριβέστερον ἔλεγχον ποιεῖσθαι, πρὶν ἢ δέξασθαι τὴν διαβολήν.*

FINIS.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2008



RISTAMPA ANASTATICA DELL'EDIZIONE DI BASILEA DEL M.D.LXXXIV. LA RIPRODUZIONE E LA STAMPA SONO STATE ESEGUITE IN SAN GIOVANNI IN PERSICETO DI BOLOGNA DALLA LITOGRAFIA F.A.R.A.P. PER CONTO DELLA EDITRICE "MEMOR" IN MODENA.
FINITO DI STAMPARE NEL MESE DI GENNAIO MILLENOVECENTOSETTANTADUE.

REDIVIVVS PROSILIT · IDEM

EDITRICE MEMOR. VIA CANALETTO 431. 41100 MODENA. ITALY

ΠΑΝΕΠΙΣΤΗΜΙ... ΤΟΜΕΑΣ ΦΙ... ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛ... ΔΙΕΥΘΥΝΤΗΣ: ΑΝ.ΚΑΘΗΓΗΤΗΣ ΚΩ...
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2008